Ἄρτεμις ἐννέ' ἐτῶν δεκάδας βίον Ἀρτ[εμ]ιδώρωι
ἔκχρησεν̣, τ̣ρεῖς δ' ὧραι ἔτ[ι] προσέθ̣ηκε Π̣ρ̣[ονο]ίη.

II. Ehreninschriften (Nr. 173—176)[1].

173. DELPHI. Marmortafel, aus 23 Stücken bestehend, dem Phoker Xanthippos (ca. 285 v. Chr.) geweiht.

B. phil. Woch. 1912, 507 (Pomtow).

Ὧδε χρὴ Φοῖβον παρὰ Πύθιον αἰὲν ἀλαθ[ῶς]
αὐχεῖν, ὡς ὅδ' ἀνὴρ Ἑλλάδος ὤνα(τ' ἀρ)[ᾶν],
δὶς μὲν γὰρ σφετέρας ἀπὸ δ[έσμ]ια δ[ειν](ὰ τυράννων)
λῦσαί φατι, καμὼν ἄλκι[μα ἔργα, πάτρ](ας),
5 ἀνίκα δῖα Ἐλάτεια κατεῖχε[το], τὸμ[μὲν ἐν](ἀρχ)[αῖς],
τὸν δὲ μέσαι τελέ[σ]ας μόχ[θο]ν ἐν ἁ[λικίαι].
οὗτος καὶ βασιλ[ῆ]α Μακη[δονίας] φρεσ[ὶ πεί]σας
τὰν ἄδολον κ(ε)ίναν ὥρμ[ισεν εἰς] φιλίαν,
[Λ]υσ[ίμα]χομ, χρυσὸν δὲ τὸν ἅ[στ]εα καὶ τὰ πα(λαιά)
10 ἄγαγε[ν Ὀρ]νυτιδᾶν ῥυσά[μ]ε[ν]ον δάπεδα.
τοὔνεκα καὶ Φωκεῖς δεκάκις, ξένε, ταγὸν ἕ[λ]οντ[ο]
τόν γε μετ' εὐλο̣[γίας] πάντες ἐπευ[χόμεν](οι).

[1] Vgl. oben zu Nr. 123ff.

ἀλλ[ά νύ τις Ξ]ά[νθ]ι[ππ]ον ἰδὼ[ν] Ἀμφ[αρέ]του υἱόν
φάσθω· „ἴδ[ε ὡς] μεγάλαι τοῖς ἀγαθοῖς [χ]άριτες."
10 cm Zwischenraum.
Φωκεῖς ἀνέθηκαν τῶι Ἀπόλλωνι
Ξάνθιππον Ἀμφαρέτου Φωκέα
ἀρετᾶς ἕνεκα καὶ εὐνοίας τᾶς εἰς αὐτούς.

Xanthippos von Elateia, Retter seiner Vaterstadt vor Kassandros um 301, erhält zum Danke dafür von Phokis eine delphische Statue; X. danach 10mal ταγός. Mit 30—35 Jahren vertreibt er wieder die Tyrannen, indem er mit Lysimachos ein Bündnis schließt und Subsidien vom König erhält (285?): Pomtow. — Die jetzt durch die Zusammenfügung des zerstückelten Steins unlesbar gewordenen, aber vor diesem Akt abgeschriebenen Buchstaben setzt Pomtow in runde Klammern. Die Ergänzungen in V. 2—10, 12f. stammen fast alle von Hiller v. Gärtringen, der Rest von Pomtow. — 2 ὤνα(τ' ἀρ)[ᾶν]: vgl. IG. XII 5, 64 ἀραὶ μὲν τοκ[έ]ω[ν τοί]ω[ν] παῖδ[ας] προβιῶναι: Hiller v. Gärtringen. — 10 Ὀρ]νυτιδᾶν von Hiller v. Gärtringen gewonnen aus Pausan. IX 17, 6: Φῶκον . . τὸν Ὀρνυτίωνος. — 13 Zur späteren Nennung des Namens vgl. Ep. 130, 5. — 14 Zur direkten Rede vgl. Ep. 125, 4; 178, 10ff.; 202, 11.

174. EPIDAUROS. Basis aus 2 Stücken. Gedicht auf Philippos V. 2. Hälfte des 3. Jahrhunderts.
IG. IV 1372.

Ὅσσον ἐπ' ἀέλιός τε μέγ[— ⏑⏑ — ⏑⏑]εἰβει
αἰνετὸν Ἑλλάνων ἀγ[⏑⏑ — ⏑⏑ — ⏑].
εἰ καὶ χάλκεός εἰμι [⏑ — ⏑⏑ — ⏑⏑] νάσωι
Ἀπίδι τὰν ὀλοὰν ἀρ[⏑⏑ — ⏑⏑ —]
5 πολλὰ μὲν Αἰτωλοῖσι κ[⏑ — ⏑⏑ — ⏑⏑ ῥ]έξας
μυρία δ' εὐπώλωι λυγρὰ [Λακωνίδι γᾶι].
τοὶ καὶ νῦμ μ' Ἐπίδαυρο[ς ἀνέστασ'· ἀλ]λὰ φύλασσε,
Ζεῦ, τὸν ἀπὸ Σπάρτας ε[ὐρὺ λαβόντα] κλέος.

Mit Recht denkt Fränkel an eine Statue Philipps V., der im Bunde mit den Achäern mehrfach die Aitoler und Spartaner bekriegte (Niese: Gesch. d. griech. und makedon. Staaten II 431ff; 448ff.; 476ff.) und eine beherrschende Stellung in Griechenland einnahm (gegen Philipp dann Alkaios: Ep. 324ff.). — 1 μέγ[— ⏑⏑ — ⏑⏑ λ]είβει Fränkel, μέγας μάνα δέ τ' ἀμείβει Geffcken: vgl. z. B. das Midasepigramm im Cert. Homer. et Hesiod. 250 Rzach: ἔςτ' ἂν ὕδωρ τε νάηι καὶ δένδρεα μακρὰ τεθήληι | . . . .

ἡέλιος δ' ἀνιὼν φαίνηι λαμπρά τε σελήνη | αὐτοῦ τῆιδε μένουσα . . . | σημανέω παριοῦσι (= Preger 233); vgl. auch Ep. 172, 1348; 256, 8). — 2 ἀγ[εμόν'(?) — ◡◡ —] Fränkel, ἀγγελέω πρύτανιν Geffcken; zu ἀγγελέω vgl. in der vorigen Anm. σημανέω (var. lect.: ἀγγελέω). — 3 [καὶ ἄπνοος, ἀλλ' ἐπὶ] Geffcken; nach εἰμι nur noch eine senkrechte Hasta: | zu erkennen. — 4 ἀρκ[έσω ἀβροσύναν] Fränkel, ἀρκέσω οἷος ἔριν Geffcken. — 5 κ[ακῶν (?) ◡◡ — ◡◡ ῥ]έξας Fränkel, κ[ακορρέκταις κακὰ ῥ]έξας Geffcken; denn ein Epitheton ist nötig: vgl. Ep. 192, 2f. — 6—8 ergänzt von Fränkel. — 7 ἀλ]λὰ: das zweite λ auf dem Steine durch zufälligen Querstrich zu A geworden.

175. LOKRISCHES ATALANTE. Quadratbasis. Bald nach 229 v. Chr. (Kaibel).

IG. IX 1, 270 = Kaibel 855.

Πατρὸς ἀριζήλοιο Πολυκρίτου υἷα σὺν ἵππωι
  δέρκεο, Βοιωτῶν ἀρχὸν ἀεθλοφόρων·
δὶς γὰρ ἐνὶ πτολέμοις ἁγήσατο τὰν ἀσάλευτον
  νίκαν ἐκ πατέρων τηλόθεν ἀρνύμενος,
5 καὶ τρίτον ἱππήων· Ὀπόεντα δὲ πολλάκι τάνδε
  καὶ χερὶ καὶ βουλᾶι θῆκε ὀνομαστοτέραν·
ἐν δὲ ἀρχαῖς ἀχάλινος ὑπ' ἀργύρου ἔπλετο πάσαις,
  ἀστῶν εὐνομίας θέσμια παρθεμένων·
τῶι καὶ ἀείμναστον Νικασιχόρωι κλέος ἔσται,
10 πίστις ἐπεὶ πάντων κοίρανος ἁγνοτάτα.

Vgl. den Kommentar Dittenbergers zu IG. a. a. O. (auch über Opus' und Boiotiens Bündnis). Es handelt sich hier um die Befreiung von makedonischer Herrschaft. — 9 Späte Erwähnung des Namens: vgl. Ep. 130, 5.

176. KNIDISCHE Nekropolis. Heroon (angeblich des Antigonos Gonatas).

Kaibel 781 = Ancient greek inscriptions in the Brit. Museum IV 1, DCCXCVII.

Βαιὸν ὁδοιπορίης ἔ[τ]ι λείπεται· ἀλλὰ πρὸς αἶπος
  τὴν ὀλίγην ἀνύσεις ἀτραπιτὸν διέπων
χειρὸς ἀφ' ἡμετέρης λαιῆς, ξένε· κἀμὲ προσείπας
  χαίρειν εἰσ(σ)τείχεις πρὸς φιλίου τέμενος
5 ἥρωος Ἀντιγόνου· Μοῦσαι δέ σοι εἴ τι νέμουσιν
  ἐσθλόν, ἀπ(ά)ρχεσθαι δαίμοσιν ἐγ μελέτης·
καὶ γὰρ ἀοιδοῖσιν θυμέλη καὶ σηκὸς ὑπ' ἄγκει
  τῶι Ἐπιγόνου κούρωι ξυνὸς ὁμευνέτιδος,

καὶ δρόμος ἠϊθέοισιν ἱδρύεται ἠδὲ παλαίστρη
10 λουτρά τε καὶ ταρσῶι Πὰν ὁ μελιζόμενος.
ἀλλ' ἀσινὴς ἔρχευ καὶ ἀπ' Ἀρκαδίης τεμενουρόν
Ἑρμῆν οὐ μέμψει τρηχέος ἐχ Φενεοῦ.

Eingehender Kommentar bei Usener, der das Ep. auf Antigonos Gonatas bezieht: Rh. Mus. XXIX, 1874. 25ff. (= Kl. Schriften III 382ff.); über die Zeit des Gedichtes (nach 260) vgl. O. Benndorf: Untersuchungen auf Samothrake II 84, 1; v. Wilamowitz: Antigonos von Karystos 229; dagegen zweifelnd Niese: Geschichte der griech. und makedon. Staaten II 76, 4; 131, 3; vollends leugnet Beloch: Griech. Geschichte III 2, 432, 1 = Klio I, 1901, 291, 2 jede Beziehung auf Gonatas (s. auch v. Wilamowitz: Textgeschichte der griechischen Bukoliker 200f. und W. Tarn: J. Hell. stud. XXX, 1910, 214f.). Dagegen nun das bukolische Wesen des Gedichtes von R. Reitzenstein: Epigramm und Skolion 226f. betont. Diesen Charakter verrät allerdings nicht nur Pans und des pheneatischen Hermes Nennung, sondern besonders auch die Ähnlichkeit mit den Gedichten der Anyte (A.P. IX 313; Plan. 228), der Nossis (IX 332), des Mnasalkas (IX 333) und Theokrit (ep. IV); vgl. auch Kaibel 782. Da eine Art Ehrengedicht auf einen König nicht wohl so bukolisch wie dieses Ep. sein könnte, so wird das Ep. nur diesen letzteren Charakter tragen und hier nur ein verstorbener Stifter, Antigonos, der Sohn eines Epigonos, gemeint sein (s. Tarn a. a. O.). — 6 ἀπάρχεσθαι aus ἀπέρχεσθαι korrigiert.

III. Agonistische Epigramme (Nr. 177—178).

177. PERGAMON. Drei Marmorstücke eines großen Bathrons. Auf einen olympischen Sieg des Attalos, des Vaters Attalos' I. und jüngeren Bruders des Philetairos; vor 263 v. Chr. (Fränkel; s. auch noch C. Päpcke: De Pergamenorum litteratura. Rostock. 1906. p. 9).

Inschr. v. Pergamon I 10, p. 8ff. = Hoffmann 334.

[Πολ]λὰ μὲν ἐγ Λ[ιβ]ύης ἦλθ' ἅρματα, πολλὰ δ' ἀπ' Ἄργευ[ς
[πο]λλὰ δὲ π[ι]είρης ἦλθ' ἀπὸ Θεσσαλίης,
[ο]ἷσιν ἐν[η]ρι[θμ]εῖτο καὶ Ἀττάλου. ἀθρόα δ' ὕσπληξ
πάντα διὰ στρεπτοῦ τείνατ' ἔχουσα κάλω·
5 [ἣ] μέγ' [ἐ]παχήσασα θοὰς ἐξήλασε πώλους,
αἱ δὲ διὰ σταδίου πυκνὸν ὄρεγμ' ἔφερον,
ἄλλαι ἐπ' ἄλλα θέουσαι. ὁ δ' Ἀττάλου ἶσος ἀέλληι
δίφρος ἀεὶ προτέραν πο[σσὶν ἔ]φα[ινε] κόνιν·

χοὶ μὲν ἔτ' ἀμπνείοντες ἐδήριον, αὐτὰρ ὁ τοῖσι[ν]
10 ἐγράφεθ', Ἑλλάνων ταῖς τόκα μυριάσιν.
φῆμα δ' εἰς Φιλέταιρον ἀοίδιμος ἦλθε καὶ οἴκους
Περγάμου Ἀλείωι τ[ει]σαμένα στεφάνωι.

Ergänzungen von Fränkel, doch s. V. 12. — Stark hellenistischer Stil; viermal im Pentameter Adjektiv und Substantiv auf die Enden der Vershälften verteilt (vgl. Ep. 166, 8); doch tadelt Fränkel den Gedanken in V. 7 Anf. — 1ff. Aufzählung der Wagen ∽ Sophokl. El. 698ff. — 3ff. über das Tau als ὕσπληξ vgl. Pausan. VI 20, 11: Fränkel. — 8 vgl. Bakchylid. V 43ff. — 10 ἐγράφεθ': prägte sich ihnen in die Seele ein: Fränkel. — 11f. vgl. auch das Ep. IG. XI 4, 1105. — οἴκους . . . στεφάνωι: anderer gezierter Ausdruck für den alten Gedanken: vgl. Ep. 86, 2. — 12 τ[ει]σαμένα A. Wilhelm. — Nach 12 Lücke und verstümmelte Versteile.

178. SIDON. 3. Jahrhundert.
Loewy 167 = Kaibel 932.

a. Σιδωνίων ἡ πόλις Διότιμον Διονυσίου δικαστὴν
νικήσαντα Νέμεια ἅρματι.
Τιμόχα[ρι]ς Ἐλευθερναῖος ἐποίησε.

b. Ἀργολικοῖς ὅκα πάντες ἐ[ν ἄγκεσιν ὠκέας ἵππους]
ἤλασαν ἐκ δίφρων εἰς ἔριν ἀντ[ίπαλοι],
σοὶ καλόν, ὦ Διότιμε, Φορωνίδος [ὤπασε λαός]
κῦδος, ἀειμνάστους δ' ἦλθες ὑπὸ στεφ[άνους].
5 ἀστῶγ γὰρ πράτιστος ἀφ' Ἑλλάδος ἱππικὸν [ε]ὖχος
ἄγαγες εἰς ἀγαθῶν οἶκον Ἀγηνοριδᾶν.
αὐχεῖ καὶ Θήβας Καδμηίδος ἱερὸν ἄστυ
δερκόμενον νίκαις εὐκλέα ματρόπολιν·
πατρὶ (δ)ὲ σῶι τελέ(σ)ει Διονυσί[ωι εὖχος ἀ]γῶνος,
10 Ἑλλὰς ἐπεὶ τρανῆ τόνδ' ἐβόασε [θρόον]·
„οὐ μόνον ἐν ναυσὶν μεγαλύνε[αι ἔξοχα, Σιδών],
ἀλλ' ἔτι καὶ ζευκτοῖς ἀθλοφ[όροις ἐν ὄχοις].“

Ergänzungen von Kirchhoff und V. 9 von Kaibel. — 7ff. breitere Ausführung des alten Gedankens: vgl. Ep. 86, 2. — 9 τελεοει der Stein. — 10—13 direkte Rede in weiterer Ausführung als Ep. 125, 4; 173, 14.

IV. **Grabinschriften** (Nr. 179—193).

A. Private (Nr. 179—187).

179. SMYRNA. 3. Jahrhundert.
Hoffmann 186 = Kaibel 234.

'Οστέα μὲν κρύπτει Τμῶλος ̣νεάτ̣αισιν ὑπ' ὄχθαις
'Ε̣ρ̣μίου̣, ὀγκωτὰ δὲ (ἀ)μφιβέβακε κόνις
[τ]ῃ̣λεφαής· ξεστὰ δὲ πέτρα καθύπερθε ἀγορεύει
τ̣ὸν νέ(κ)υν ἀφθόγγωι φθεγγομένα στόματι.
5 τοῦτο δέ οἱ κενέωμα̣ ̣τάφου ποθέοντες ἑταῖροι
[Σ]μύρνης ἀγχιάλοι̣ς χεῦαν ἐπ' ἀιόσιν.

Zum Kenotaph vgl. Kallimachos: A.P. VII 271 f. (= Ep. 281 f.) und andere Epp. der A.P. — 1 Anf. vgl. Ep. 139, 1. — 2 ὀγκωτὰ: vgl. (Euripides: Ion 388) Ep. 211, 4; 226, 2. — δεμμφιβεβακε der Stein. — 3 πέτρα: vgl. Ep. 147, 6. — 4 τ̣ον νευν der Stein. — ἀφθ. φθεγγ. στόμ.: vgl. Simias: A.P. VII 193, 4 (s. auch Ep. 217, 1). — 5 κενέωμα: ἅπ. εἰρ.

180. RHODOS. Ende des 3. Jahrhunderts.

IG. XII 1, 140, verbessert von A. Wilhelm: BCH. XXIX 1905, 576.

'Ανδρόμαχος μέ(γ)α πένθος 'Αριστάνακτος ἀδελφοῦ
[κ]άλπιν ἐπ' ἄστυ Πάφου πάτριον ἵξει ἄγων.
πρέσβυ, σὺ δ'οὐχὶ τροφεῖα, τὰ δ'ὀστέα παιδὸς ἐπόψει,
Μεννέα, ἐν ξείνηι γῆι 'Ροδίων φθιμένου.

Aristanax ist gestorben, Andromachos veranstaltet die Leichenfeier, danach wird er die Gebeine dem Vater Menneas nach Paphos bringen. Auf Rhodos errichtet er ein Kenotaph; das auf diesem unter den Augen des Andromachos eingemeißelte Gedicht sagt, was er tun will: so z. T. v. Wilamowitz, der V. 1 das inschriftliche μεπα πένθος in μετὰ π. ändert, wogegen Wilhelm a. a. O., mit Berufung auf Kaibel 228, 6; A.P. VII 435, 4 μέγα πένθος verbessert. — 3 τροφεῖα: vgl. Ep. 149; 213, 17 f.; Kaibel 335, 7; überaus häufig auch auf römischen Grabsteinen: Carm. lat. epigr. ed. Buecheler I 164 ff. Der Gedanke alt: vgl. Lysias, Epit. 70.

181. RHODOS. Alexandrinische Zeit.

IG. XII 1, 142 = Hoffmann 197.

[Εἰκόνα Παρμενίδ]ος θυγατρὸς σφετέρας με Δαήμων
[καὶ Κλεινὼ] μ̣άτηρ μνᾶμ' ἐπὶ παιδὶ θέσαν·
[ὑψίστ]ου δέ μ'ἔχει τέμενος Διὸς ὀρρά τ' 'Απόλλων
[θνη]τ̣οῦ ἄμειψεν ἑλὼν ἐκ πυρὸς ἀθάνατον.
5 [Ε]ἰκόνα Παρμενίδος (σ)τᾶσεν θυγατρός μ[ε Δαήμων]
[κ]αὶ Κλεινὼ μάτηρ [μνᾶμ' ἐπὶ παιδὶ φίληι·]
. . . .
. . . .

Zu 1—4 ist 5ff. Variation: vgl. Ep. 143. — 1; 2; 5 ergänzt von Holleaux, Diehl, 3 von Herwerden (vgl. auch IG. IV 620, 8); 4 [θνητ]οῦ Hoffmann; 6 ergänzt von Hoffmann; 7 Anf. steht etwas wie φογ . . . .

182. KERKYRA. Vor 227: Kaibel, Dittenberger (s. den Kommentar).

IG. IX 1, 873 = Kaibel 184 (= SGDI. 3219).

Μυρί' ἀποφθιμένοιο τάφωι περὶ τῶιδε χυθεῖσα
παιδὸς 'Αλεξάνδρου μύρατο Καλλιόπα,
ὠκύμορον καὶ ἄτεκνον ἐπεὶ θέτο τᾶιδ' ὑπὸ γαίαι
ἑπτακαιεικοσέτους πνεῦμα λιπόντα βίου,
5 ἵστορα παιδείας, τόξωι κλυτόν, ὧι ποκα λῃστάς
ἀνδροφόνους ἁλίαις κτεῖνεν ἐπὶ Στροφάσιν.
ἀλλ' ἴθι νῦν, παροδῖτα, τὸν ἐκ χθονὸς 'Αλκινόοιο
„χαῖρ'" εἰπὼν ἀγαθοῦ παῖδ' ἀγαθὸν Σατύρου.

Für die Zeit weist Kaibel auf Polyb. II 11f. hin, der für das Jahr 227 die Aufhebung des illyrischen Seeraubs durch Rom berichtet. Das Wesen des Gedichtes ganz alexandrinisch: vgl. z. B. zum Anfang Antipater Sid. A.P. VII 241; der Vatersname steht erst ganz zu Ende. — 4 ἑπτακαιεικοσέτους: Diese langhingezogenen Angaben des Lebensalters (vgl. übrigens Solon: fr. 20, 4) auf hellenistischen Gräbern und in epideiktischen Epp. häufig: Ep. 204, 4; 216, 1; 243, 2; IG. XII 3, 1064, 3; Leonidas Tar. A.P. VII 466, 3 u. ö. — 8 χαῖρ', nicht χαίρειν: vgl. Ep. 125, 4; 267, 3. — Zur Form des Wunsches s. Ep. 204, 7f.

183. PHERAI. 3. Jahrhundert.

IG. IX 2, 429 = Hoffmann 196.

Σωφροσύνης, ἀρετῆς μνημεῖον τοῦτ' ἀνάκειται
Πύρρωι 'Αγασικλέιος παιδὶ καταφθιμένωι·
εἰ δ' ἦν τοὺς ἀγαθοὺς ἀνάγειν, πάλιν ἦλθες ἂν εἰς φῶ[ς],
ἐκπρολιπὼν ἀδύτους Φερσεφόνης θαλάμους.

4 vgl. Ep. 133, 2.

184. TRIKKA. 3. Jahrhundert.

IG. IX 2, 638.

Πουτάλα Πουταλεία κόρα,
Τιτυρεία γυνά.

Ὤλεο δὴ στυγερῶι θανάτωι προλιποῦσα τοκῆας,
Πωτάλα, ἐγ γαστρὸς κυμοτόκοις ὀδύναις·

οὔτε γυνὴ πάμπαν κεκλημένη οὔτε τι κούρη
πένθος πατρὶ λίπες μητρί τε τῆι μελέαι.

Ἑρμάου Χθονίου.

Zum Inhalt vgl. Ep. 150. — 1 Anf. = Damagetos: A.P. VII 438; Perses 487.

185. OREOS. 3. Jahrhundert.
IG. XII 9, 1195 = Kaibel 209 = Hoffmann 175.

Πολλά σε ἔπαινος ἐπευκλέισεν νεότητος ἐν ἀκμῇ
παῖδα μὲν ὄντα νέ(ω)ν κοσμιότητι τρόπων,
ἥβῃ δ' αὐξηθέντα νόμων πατρίων θεραπείᾳ,
ἐν συνό[δοις] δ[τ'] Ἄρης ἀντιπάλους συνάγοι,
5 ἱππομαχο[ῦ]ντα· ἀρετῇ γὰρ ἐτόλμησας στεφανῶσαι
πατρίδα καὶ προγόνους· μνῆμα δὲ σῆς ἀρετῆς
στ[ῆσε] πατὴρ Θεο[κλ]ῆς, ἀειμνήστοισ[ι] δὲ ἐπαίνοις
κόσμησε ἥδε πόλις καὶ κατὰ γῆς φθίμενον.

1 ἐπευκλέισεν; vgl. Simonides fr. 125, 2. — 2 νεον der Stein, verb. von v. Wilamowitz. — 4 συνό[δοις] δ[τ'] Ἄρης Kaibel. — 5f. Vgl. Ep. 86, 2. — 7 Θεο[κλ]ῆς Kaibel. — ἀειμνήστοισ[ι] Nauck.

186. SALAMIS. Ca. 228 v. Chr.
IG. II 3, 2719 = Kaibel 30.

Εἷλε σόν, Ἡράκλειτε, καὶ αἰνετὸν υἷα (Λ)εαί(ν)ης,
εἷλεν θαρραλέης ἔ(ρ)γα Λέοντα μάχης·
ἀγχιάλου Σαλαμῖνος ὃ γὰρ κλήροισιν ἀμύνων
δυσμενέων ὀλοὸν τραῦμα κατηγάγε(τ)ο.
5 ζηλοῦτ' ἀλλά, νέοι, τὸν ὁμήλικα· κάθθανε γάρ που
μηδοφόνων ἀρετᾶς μνωόμενος πατέρων.

Alexandrinische Kunst: vgl. v. Wilamowitz bei Kaibel a. a. O.; vgl. ferner 2 θαρρ. μάχ. mit Ep. 192, 7; 330, 4; 350, 2; dazu 5 mit Ep. 189, 15f. — Ergänzungen von Bursian, Keil, Kaibel. — 1 Δεαιριης, 2 εγα, 4 κατηγαγεπο der Stein.

187. ALEXANDREIA. 3.—2. Jahrhundert.
Kaibel 258.

Ὁ τύμβος οὐκ ἄσαμος· ἁ δέ τοι πέτρος
τὸν κατθανόντα σημανεῖ, τίς καὶ τίνος
εἰς Ἀίδαν βέβακεν· ἀλλά μοι σχάσας
τὸ νεκραγωγόν, ὦ φίλ', ἐν πέδωι γόνυ
5 κολαπτὸν ἄθρει γράμμα διπτύχοις κόραις.

πατὴρ μὲν Εἰρηναῖος· ἁ δέ τοι πατρίς
Μέμφις, τὸ δ'οὔνομ' ἀγορεύετ' ἐκ βρέφους
[⏑ —, ὧι] φαῦλον οὐ συνείπετο
[ἀλλ' οὐδὲν ἢ] τὰν μοῖραν ὡς ἐπέδραμε.

1 πέτρος: vgl. Ep. 147, 6. πέτρος wie hier Femininum: Ep. 205, 2; Theodoridas: A.P. VII 479, 1; Honestus 274, 3f. — 3 Bekannte Aufforderung: Kaibel 388, 1; IG. IX 1, 884, 2; XIV 1537, 1f.; 2126, 1f.; ἀδ. A.P. VII 337, 1f. u. ö. Doch bleibt (vgl. auch Kaibel) V. 4 das νεκραγωγὸν (ganz spätes und seltenes Wort) γόνυ unklar. — 8 Anf. fehlt der Name: Kaibel. — 9 sehr ungewöhnlicher Gebrauch von ἐπιτρέχειν: vgl. Kaibel.

B. Öffentliche, resp. auf geschichtliche Ereignisse bezügliche (Nr. 188—193).

188. KRETISCHE Inschrift auf KITION. Anfang des 3. Jahrhunderts.

Hoffmann 183 = Ancient greek inscriptions in the Brit. Museum II, CCCLXXXIX = Kaibel 255.

Κρήτα μὲν πατρίς μου, ὁδοιπόρε· τίκτε δὲ μάτηρ
Νικώ, Σωσειάναξ δ' ἦ[ε]ν ἐμὸς γενέτας·
Πραξαγόρας δ' ὄνομ' ἔσχον ἐπικλεές, ὃν πρὶν ἐπ' ἀνδρῶν
θήκατο Λαγείδας κοίρανος ἡγεμόνα.

189. AKRAIPHIA. Ca. 293 v. Chr.? 280?

BCH. XXIV, 1900, 70ff. (Perdrizet); 530f. (Dragoumis).

Τοῖος ἐὼν Εὔγνωτος ἐναντίος εἰς βασιλῆος
κεῖρας ἀνηρίθμους ἦκθε βοαδρομέων,
θηξάμενος Βοιωτὸν ἐπὶ πλεόνεσσιν Ἄρηα,
οὐδ' ὑπὲρ Ὀγχηστοῦ χάλκεον ὦσε νέφος·
5 ἤδη γὰρ δοράτεσσιν ἐλείπετο θραυομένοισιν,
Ζεῦ πάτερ, ἄρ(ρ)ηκτον λῆμα παρασχόμενος,
ὀκτάκι γὰρ δεκάκις τε συνήλασεν ἰλαδὸν ἵππω[ι],
ἥσσονι δὲ ζώειν οὐ καλὸν ὡρίσατο,
ἀλλ' ὅγ' ἀνεὶς θώρακα παρὰ ξίφος ἄρσενι θυμῶι
10 [μάρν]ατο, γενναίων ὡς ἔθος ἀγεμόνων.
τὸ[μ μ]ὲν ἄρ' ἀσκύλευτον ἐλεύθερον αἷμα χέοντα
δῶκαν ἐπὶ προγόνων ἠρία δυσμενέες·
νῦν δέ νιν ἔκ τε θυγατρὸς ἐοικότα κἀπὸ συνεύνου
χάλκεον [εἰκό]ν' ἔχει π[έτ]ρος Ἀκραιφιέων.
15 ἀλλά, νέοι, γ[ίν]εσθε κατὰ κλέος ὧδε μαχηταί,
ὧδ' ἀγ[αθ]οί, πατέρων ἄ<ι>στεα [ῥ]υ[ό]μενοι.

(Ähnliche schwungvolle Epp. der Zeit auf gefallene Krieger BCH. XIII, 1889, 60; XIX, 1895, 392). — Eugnotos, wohl Teilnehmer am Kampfe der Böoter gegen Demetrios und Antigonos Gonatas (Beloch: Griech. Gesch. III 1, 231; 259), war durch eine Bronzestatue (14) dargestellt. — 1 Anf. vgl. Dorieus bei Athen, p. 412f.: Perdrizet. — 7 ἰλαδὸν: Eugnotos war Ilarch (Perdrizet). — 9 er lockerte die Schnallen des Panzers an der Seite, wo das Schwert hing, um sich Luft zu machen und sich noch freier bewegen zu können. — 10 [μάρν]ατο Geffcken. — 11 τὸ[μ μ]ὲν ἄρ' Perdrizet, Reinach. — 11f. Die Feinde gaben den unberaubten Leichnam zur Bestattung bei den Vätern des Gefallenen zurück. — 13f. Die Tochter hat ihm die gewöhnlichen Totenehren erwiesen, die Frau auf einer Marmorplatte Akraiphias eine Erzstatue gewidmet. — 15f. vgl. Ep. 186, 5f. — 16 ἀιστέα [ῥ]υ[ό]μενοι *(maintenez intact l'honneur qui a valu à vos pères d'être chantés par les poètes):* Perdrizet, αἴσχεα [λ]υ[ό]μενοι Dragoumis; doch liegt ein Schreibfehler für ἄστεα vor.

190. BITHYNIEN. 281 v. Chr.

BCH. XXIV, 1900, 380, 27 (Mendel), verbessert von B. Keil: Revue de philol. XXVI, 1902, 257—262.

Εἰ καί μευ δολιχὸς περιαίνυται ὀστέα τύμβος,
ξεῖνε, τὸ δυσμενέων οὐχ ὑπέτρεσσα βάρος·
πεζομάχος δ' ἱππείας ἐν προμάχοισιν ἔμεινα,
ὁππότε περ Κούρου μαρνάμ[εθ' ἐ]μ πεδίω[ι].
5 [Θ]ρήϊκα δὲ προπάροιθε βαλὼν ἐν τεύχεσιν ἄ[νδρα]
[κα]ὶ Μυσὸν μεγάλας κάτθανον ἀμφ' ἀρετᾶς.
[τ]ῷ τις ἐπαινήσειε θοὸν Βιοήριος υἷα
Βιθυνὸν Μηνᾶν, ἔξοχον ἡγεμόνα.
Ἄλλο.
10 [Δ]άκρυα μὲν δειλοῖς τις ἰὼν ἐπιτύμβια χεύοι
[ν]ώνυμον ἐγ νούσων δεξαμένοις θάνατον·
αὐτὰρ ἐμὲ Φρυγίοιο παρὰ ῥόον ἀμφί τε πάτρης
ἀμφί τε κυδαλίμων μαρνάμενον τοκέων
εὐκλέα δέξατο γαῖα μετὰ προμάχοισι δαμέντα,
15 δυσμενέων πολλοὺς πρόσθε δαϊξάμενον.
Βιθυνὸν τῷ τις Βιοήριος υἱέα Μηνᾶν
αἰνήσαι με ἀρετᾶς φέγγος ἀμειψάμενον.

Vgl. über die geschichtlichen Tatsachen Keil a. a. O. 260f. — Die Gedichte, nun schon wie in den Anthologien (vgl. auch noch IG. XII 5, 588; XIV 1863b) durch ἄλλο verbunden (A. Wil-

helm: Beiträge zur griech. Inschriftenkunde 161f.; 312) entwickeln die Variation weiter: vgl. Ep. 143. Die Metrik (3: Cäsur!) und der trotz Anlehnung an gute ältere Vorbilder (3: Pind. Pyth. II 65; 17: Ep. 87, 11f.) doch nicht eben geschickte dichterische Ausdruck (1f.; vgl. jedoch Keils Erklärung S. 262; 6 ἀμφ' ἀρετᾶς zu kurz; 10 ἰὼν müßig; 17 ἀρ. φ. ἀμειψάμενον zu kurz) zeigen vielleicht halbbarbarisches Wesen. Beide Epp. illustrieren ein Relief, das den Kampf des Gefeierten darstellt und seinen Fall andeutet. — 1 δολιχός: der gewöhnliche Gedanke diesem entgegengesetzt: A.P. VII 2b; 137; 235; IG. XIV 2012 C b 1; Ep. 208, 15ff.; 218, 1f. — περιαίνυται, äußerst selten, = περιλαμβάνει (Hesych.): Mendel. — 4 μαρνάμ[εθ' ἐ]μ Keil. — 5 ἄ[νδρα] Keil, A | . . . der Stein. — 7; 16 Βιοήριος: über den Namen vgl. A. Wilhelm a. a. O. 219. — 10 Anf. vgl. Ep. 160, 1. — 12 Φρυγίοιο: Strab. 626 (Keil a. a. O. 260f.). — Über die für ihr Vaterland kämpfenden Bithyner s. Keil a. a. O. 261. — 14 εὐκλέα = εὐκλεῶς: Keil a. a. O. 258f. — 14 μετὰ πρ. δαμ.: vgl. Ep. 191, 2. — 15 δαϊξάμενον: das Aktiv gewöhnlicher, vgl. Ep. 88, 2.

191. KRANNON. Marmorbasis mit der Reiterstatue eines Jünglings. 3. Jahrhundert v. Chr.

IG. IX 2, 466.

Ἄσων ἐνθάδε κεῖται ὁ Δημοκλέους περὶ πάτρας
μαρνάμενος, πρῶτος δ' ἐμ προμάχοισι θάνεν·
[ο]ὐχὶ [κ]αταισχύνας πατρίδ' οὐδὲ γ[ο]ν[ῆ]ας ἑαυτοῦ,
ῥώμην δ' οἰκείαν δεῖξεν ἐν ἡλικίαι.

2 δ' ἐμ προμ. θάνεν: vgl. Ep. 190, 14. — 3 ergänzt von v. Wilamowitz.

192. KERKYRA. 229.

IG. IX 1, 871f. = Kaibel 183.

Ἦ μάλα δὴ περὶ σεῖο λυγρὸμ πότμον ἔκλυε πάτρα,
Ἀλκή(ν), Ἀμφιλόχωγ γαῖα θρασυπτολέμων,
οὕνεκεν Ἰλλυριοῖσιν ὑφ' ἱππομάχοισι δαμάσθης·
ὀστέα δ' ἐν νάσ(ω)ι (τ)ᾶιδ' ἕταροι ⟨ἐ⟩κτέρισαν.

5 Καὶ σοῦ ἀποφθιμένου πιστοὶ φίλοι οὐκ ἐλάθοντο,
Σίννα, φυλόπιδος δ' ἐξέρυσαν στυγερᾶς
Ἀμφίλοχοι, θρασέων εὖ εἰδότες ἔργον ἀκόντων,
οἵ σε μέγ' ἀχνύμενοι συγγενῆ ἐκτέρισαν.

Zwei Amphilochier, Alken (so von Wilamowitz hergestellt) und Sinnas, in einer Schlacht gefallen, gemeinsam bestattet. —

1 ἦ μάλα δή: vgl. Ep. 154, 1. — 2 θρασυπτολέμων: ἅπ. εἰρ. — 4 νασοι γαιδ ε. εκτερισαν auf dem Stein. — 7 θρασέων . . . ἀκόντων: Weiterbildung des Gebrauchs von θρασύς bei Homer Z 254; vgl. Ep. 186, 2.

193. SPARTA. Basis. Ende des 3. oder Anfang des 2. Jahrhunderts.

IG. V 1, 724 = SGDI. 4438.

Τόνδε ποτὲ Σπάρτα Βότριχον, ξένε, πολλὸν ἄριστον
 ἀνδρῶν αἰχματᾶν ἔτρεφεν ἁγεμόνα,
κυδαίνοντ' ἀρετὰν Λακεδαίμονος, ἅ̣ν ποτ' ἐτίμα
 ἀλκαῖς Ἑλλάνων ἔξοχα ῥυόμενος.
5 νῦν δέ νιν Ἀρκαδίας ἀπὸ πατρίδος ὧδε θανόντα
 κουριδία Τιμὼ τύμβωι ἔκρυψε ἄλοχος.

Botrichos arkadischer Söldnerführer unter den Tyrannen. Durch Tapferkeit unter den Griechen <d. h. den fremden Söldnern> ausgezeichnet, verteidigt er Sparta: v. Wilamowitz. — 3f. ziemlich gekünstelte Form. — Unter der Reihe arkadischer Siegesepigramme vgl. noch IG. V 2, 412 (Mantinea).

V. Steinepigramme des I. Jahrhunderts v. Chr. (Nr. 194—226).

I. Weihinschriften (Nr. 194—196).

194. CHALKEDON. Auf Zeus Urios. Ungefähr die Zeit des Leonidas oder Antipater von Sidon: Kaibel.

Kaibel 779.

Οὔριον ἐκ πρύμνης τις ὁδηγητῆρα καλείτω
 Ζῆνα κατὰ προτόνων ἱστίον ἐκπετάσας·
εἴτ' ἐπὶ Κυανέας δίνας δρόμος, ἔνθα Ποσειδῶν
 καμπύλον εἱλίσσει κῦμα παρὰ ψαμάθοις,
5 εἴτε κατ' Αἰγαίνη πόντου πλάκα νόστον ἐρευνᾶι,
 νείσθω τῶιδε βαλὼν ψαιστὰ παρὰ ξοάνωι.
ὧδε τὸν εὐάντητον ἀεὶ θεὸν Ἀντιπάτρου παῖς
 στῆσε Φίλων ἀγαθῆς σύμβολον εὐπλοΐης.

Berühmt das Heiligtum des Zeus Urios an der Mündung des Bosporos in den Pontos: vgl. Preller-Robert: Griech. Mythologie I 118, 3. — 7 εὐάντητον: spätes Wort: h. Orph. II 5.

195. APOLLONOPOLIS-MAGNA.
Kaibel 825.

Ξεῖνον τιμήσαντες, ὁ̣δ̣ο̣ι̣(π)ό(ρ)οι, ἥρωα τόνδε
Εὔοδον, εἶτ' αὐτοὶ στεί[χ]ετε σωιζόμενοι·
Φείδων Ἀμβρύωνος ὁ Κ[ρ]ὴς ἀνέθηκε τὸ γράμμα
καὶ τιμάς, ἥρ[ως], ὧι δίδου εὐτυχίαν.

1 ὁ̣δ̣ο̣ι̣(π)ό(ρ)οι: die Schreibung sehr undeutlich. — 1 f. Im Ep. Kaibel 826 der Εὔοδος Πάν genannt: vgl. Dittenberger: Orient graec. inscr. sel. I 70; 72; Gruppe: Griech. Mythologie und Religionsgesch. II 1394, 3. — 1 στειυετε auf dem Stein. — 4 Zum Wunsche vgl. Ep. 13, 2.

196. HELIKONISCHES Musendenkmal. Statuen der Musen auf einer großen Basis; jede Muse mit ihrem Namen im böotischen Dialekt bezeichnet, mit einem Ep. im epischen ausgestattet. Anfang der Kaiserzeit.

a. IG. VII 1797—1799; 1804; erweitert BCH. XXVI, 1901, 129 ff. (Jamot).

1. Πολύμν̣[ια].

Ἡ Ζηνὸς Διὶ τόνδε Πολύμνια νέκταρος ἀτμόν
πέμπω τὴν ὁσίην πατρὶ τίνουσα̣ χ̣άριν.

2. Ὀνέστο̣υ.

Θάληα.

Θ̣άλλ(ε)ι ἐπ' ἰρήνης σοφίης καλά· τοιγὰρ ἁπάσας
Ἰρήνηι λοιβὰς τάσδε Θάλεια χέω.

[Ὀνέ]στου.

3. Τερψιχόρα.

Κισσὸς Τερψιχόρηι, Βρομίωι δ' ἔπρεψεν ὁ λωτός,
τῆι μὲν ἵν' ἔνθεος ἦι, τῶι δ' ἵνα τερπνότερος.

Ὀνέστου.

4. Με[λπο]μέν̣[α].

Σύνφθογγόν με λύρης χορδῆι κεράσασαν ἀοιδήν
λεύσσεις ἐν δισσοῖς Μελπομένην μέλεσιν.

Ὀνέστου.

5. Καλλιόπα.

[Σ]κῆπτρα λόγου, σκήπτρων δὲ δίκη πέλας οἷς μ[ετέδωκεν]
[Κα]λλιόπη πιθοῦς τὸ κράτος ὁ[. . . . .].

[Ὀνέστου].

1 μ[ετέδωκεν] Jamot. — 2 ὁ[ρθόπολις?] Jamot, doch könnte es auch ein auf πιθοῦς sich beziehendes Adjektiv sein.

6 und 7 schwer verstümmelt.

8. Ὠρανία.

Ἀστέρας ἠρεύνησα σοφῆι φρενί, πατρί τ' ἐοικός
οὔνομ' ἔχω· λέγομαι δ' ἡ Διὸς Οὐρανίη.

9. Nur der Pentameter erhalten.

Ὀνέστου.

b. BCH. XXVI, 1901, 156; verbessert XXX, 1906, 467 f. (Keramopoullos). Auf ein Bild des Thamyris.

[Φ]ιλέταιρο[ς] Εὐμένου
Περγαμεὺς [Μ]ούσα[ι]ς.
Καφισίας
ἐποίησε.

[Τ]ὸν θρασὺν ἐς μολπὴν ἄφθογγον νῦν μ' ἐς ἀοιδὴν
λεῦσσε — τί γὰρ Μούσαις εἰς ἔριν ἠντίασα; —
[π]ηρὸς δ' ὁ Θρήϊξ Θάμυρις φόρμιγγι πάριμαι,
[ἀ]λλά, θεαί, μολπῆς γ' ὑμετέρης ἀίω.

Ὀνέστου.

Erstes Beispiel eines römischen Epigrammatikers (vgl. dann Ep. 201, 6). Honestus auch aus der A.P. bekannt, vgl. bes. IX 216; 225; 230; 250 (über seine Zeit s. H. Dessau: Herm. XLVII, 1912, 466 ff.). — Zur Unterschrift eines Dichters vgl. Ep. 201, 6; 222; A. Wilhelm: Beiträge zur griech. Inschriftenkunde 204.

II. Ehreninschriften (Nr. 197—203)[1].

197. KRETISCHE Stiftung in EPIDAUROS. Basis. 192 v. Chr.

IG. IV 1117.

[Πᾶσιν μ]ὲν χα(λ)κὸς τετυπωμένος εἰκόνα τάνδε
[ἀμφα]ίνει· τόλμας δ' ἔργα βροτοῖς ἀρετά·
ἀνθ' ὧν, Τηλέμναστε, τὸν Ἀντιφάτα σε (γ)εγῶτα
υἱέα, συνμαχίας δ' ἔξοχον ἁγεμόνα,
5 Κρηταιεῖς ἔστασαν ἀριστεύσαντες ἐν αἰχμᾶι
— ἐσθλοῖς γὰρ τιμᾶν τοὺς ἀγαθοὺς ὅσιον —
σοὶ καλὸν ἄνθεμ', ἄναξ Ἀσκλαπιέ, τᾶιδ' Ἐπιδαύρωι·

[1] Vgl. oben zu Nr. 123 ff.

Γόρτυν ἐφ' οἷς αὐχεῖ, τοῦδε γεγῶσα πάτρα.

Λαβρέας Δαμοπείθεος 'Αργεῖος ἐποίησε.

Über Telemnastos vgl. Polyb. XXXIII, 16, 1; 6. — Ergänzungen von Fränkel, doch 1 [Πᾶσιν μ] Geffcken, wo [Δῆλαν μ] Fränkel. — 1 χααкος der Stein. — 3 τεγωτα der Stein. — 6 Solche Einschiebsel bei den Alexandrinern (nach älterem Muster) beliebt: z. B. Kallimachos: h. V 14; 16; III 172; 244f.

198. TEGEA. Unter einer Statue des Philopoimen.

Pausan. VIII 49, 1: Οὐ πόρρω δὲ τῆς ἀγορᾶς θέατρόν τέ ἐστι καὶ πρὸς αὐτῶι βάθρα εἰκόνων χαλκῶν . . . . . ἐλεγεῖον δὲ ἐφ' ἑνὶ τῶν βάθρων ἐστὶ Φιλοποίμενος τὸν ἀνδριάντα εἶναι. 52,6: τὸ δὲ ἐπίγραμμά ἐστιν ἐπὶ τῶι Φιλοποίμενι τὸ ἐν Τεγέαι·

Τοῦδ' ἀρετὰ καὶ δόξα καθ' Ἑλλάδα, πολλὰ μὲν ἀλκαῖς,
πολλὰ δὲ καὶ βουλαῖς ἔργα πονησαμένου,
'Αρκάδος αἰχμητᾶ Φιλοποίμενος, ὧι μέγα κῦδος
ἕσπετ' ἐνὶ πτολέμωι δούρατος ἁγεμόνι.
5 μανύει δὲ τροπαῖα τετυγμένα δισσὰ τυράννων
Σπάρτας· αὐξομέναν δ' ἄρατο δουλοσύναν.
ὧν ἕνεκεν Τεγέα μεγαλόφρονα Κραύγιδος υἱόν
στᾶσεν, ἀμωμήτου κράντορ' ἐλευθερίας.

= Preger 148.

3 αἰχματᾶ Dindorf.

199. ATHEN. 2. Jahrhundert.
IG. III 1, 778f. = Kaibel 853 = Loewy 238.

'Αργαῖον 'Αργαίο[υ] Πα[μβωτάδην?] Βατάκης Βατάκου
Πειρα[ιεὺς] θεραπευθεὶς ἀνέθηκεν.

Δημήτριος Φίλωνος Πτελεάσιος ἐποίησεν.

Εἴ τι π[άρ]ος μερόπων γεραὸς νόος εὗρ' ἐνὶ τέχναι,
φαμὶ σὲ [νῦ]ν κατιδεῖν εὐξυνέτοις πραπίσι,
κρίνανθ' ἰητρῶν σοφὰ δό[γ]ματα καὶ τὸ περισσόν
ἐκ βύβλων ψυχῆς ὄμματι δρεψάμεν(ο)ν,
5 εὐιάδος τ', 'Αργαῖε, πορεῖν γάνος ἀμερίοισιν
οἴνας γυιοπαγεῖς ῥυόμενον καμάτους.
ἀνθ' ὧν σοῦ τέχνας ἐρατὸν κλέος οὔποτ' ὀλεῖται,
(λ)αμπρότερον δ' ἄστρων ἔσσεται οὐρανίων.

Der Sprachgebrauch (5f.): εὐιάδος, ἀμερίοισιν, γυιοπαγεῖς hellenistisch. Über die erst mit dem 2. Jahrhundert v. Chr. Wein verordnenden Ärzte vgl. Buecheler bei Kaibel. — 1 Εἴ τι . . . vgl. Ep. 135, 1 — γεραιαῖς Herwerden. — 2 [νῦ]ν Kumanudes, [πᾶ]ν Buecheler. — 4 ψυχῆς ὄμματι geflügeltes Wort aus Platon: Resp. 533d. — δρεψαμενων der Stein. — 6 γυιοπαγ. καμ.: Podagra. — 8 ααμπροτερον der Stein.

200. ATHEN. 2.—1. Jahrhundert? Nach Koehler letzte Jahrzehnte der vorchristlichen Ära, nach Kaibel und Hauvette-Besnault (BCH. III, 1879, 490) 2. Jahrhundert.

IG. II 3, 1386 = Kaibel 852 = Loewy 224.

Παλλὰς Ἐρεχθειδᾶν ἀρχαγ[έτι, σ]ὸν κατὰ ναόν
  ἅδε τοι ἱδρύθη Φιλτέρα ἱ[ροπόλ]ος,
Βουταδέων ἐτύμων ἐξ αἵ[ματος], ἅς γενέτωρ μέν
  ταγὸς ἔφυ στρατιᾶς πεντάκι Παυσίμαχος,
5 τοὶ πρόγονοι δ' ἄνθησαν ἐν Αἰγείδαισι Λυκοῦργος
  χὼ χθονὶ τιμάεις Ἀτθίδι Διογένης·
ὧν τῶι μὲ[ν] ῥήτωρ λόγος ἄνδανεν, οὗ δὲ δι' ἔργα
  ἔδρακεν ἀρχαίαν πατρὶς ἐλευθερίαν.

[Εὔχ]ε[ιρ] καὶ] Εὐβουλίδης Κρωπίδαι ἐποίησαν.

Über die Philotera (Φιλτέρα) vgl. Töpffer: Attische Genealogie 131. Ergänzungen von Boeckh und V. 2 von Kaibel. — 6 Diogenes Söldnerführer, der nach Demetrios' Tod (229) den Peiraieus und die festen Plätze den Athenern auslieferte (Beloch: Griech. Gesch. III 1, 663).

201. DELOS. Basrelief und Inschriften. 1. Jahrhundert. BCH. XVI, 1892, 150f. (Doublet). Prosatext (Ehrung des Epimeleten Aropos), dann:

Καὶ προγόνων ἀρετᾶς σε καὶ εὐκλέος εἵνεκα δόξας
  ἔστασεν Γλαύκου Πειραιέως, Ἄροπε,
Ἑλλάνων πλᾶθύς τε καὶ ἄστεα μυρία Ῥώμας
  καὶ κλυτὸς ἀρχαίου δᾶμος Ἐριχθονίου.
[τ]ῶν μὲν γὰρ βιοτὰν αἰδοῦς μέτα, τῶν δ' ἐφύλαξας
5 δόγματα, τῶν δ' ἐσάους πάτριον εὐνομίαν.
Ποπλίου.

2 Aropos bekannt (Kirchner: Prosopograph. Att. I 154, 2248: 1. Jahrhundert). — 4f. τῶν μὲν . . τῶν δ' . . τῶν δ': ganz Leonidas'

Stil: A.P. VI 13, 5f. (= Ep. 296). — 6. Zu Ποπλίου vgl. Honestus: Ep. 196.

202. PHILAI. 7 v. Chr.

Kaibel 978, verbessert von Puchstein: Epigrammata graeca in Aegypto reperta. Diss. Argent. IV, 1, 56ff.

Κατ(ιλίου)
Καίσαρι ποντομέδοντι καὶ ἀπείρων κρατέοντι,
Ζανὶ τῶι ἐκ Ζανὸς πατρὸς Ἐλευθερίω[ι],
δεσπόται Εὐρώπας τε καὶ Ἀσίδος, ἄστρωι ἁπάσας
Ἑλλάδος, ὃς (σ)ωτ[ὴ]ρ Ζεὺς ἀνέτειλ[ε] μέγας,
5 Ἱαρᾶι ἐν πέτρα[ι τὸ] Κατίλιος ἁγνὸν ἔθηκε
γράμμ' ἀπ' [Ἀλ]εξάνδ[ρου] δεῦρο μολὼν πόλιος.
[καὶ μέγαν ἐκ μεγά[λων] Τουρράνιον, ἄνδρα δίκαιον,
Αἰγύπτω πάσας φέρτατον ἀγεμόνα,
στάλα[ι] ἐνεστάλωσεν, ἵν' εἰς τόδε νάσω ἔδεθλον
10 πᾶς ὁ μολὼν ὑμνῆι τὸν χθονὸς ὀλβο(δ)όταν.
ταὶ δὲ Φίλαι φωνεῦντι· „κ[αλὸ]ν πέρας [Αἰ]γύπτοιο
(ἔ)μμι καὶ Αἰθ[ιό]πων γᾶς ὅριον νεάτας".

Κατιλίου τοῦ καὶ Νικάνο[ρος] L ΚΓ Καίσαρος Φαμενὼθ ιβ' ἐπὶ Νείλου στρατηγοῦ.

7 Über Turranius vgl. u. a. Prosopographia imperii Romani III 344, 296. — 10 ὀλβοδόταν Letronne, σαβο(?)τοταν der Stein. — 11f. Anführung direkter Rede: vgl. bes. Ep. 173, 14; 125, 4.

203. RHODOS. Wahrscheinlich unter einer Doppelherme (Winter). 1. Jahrhundert.

IG. XII 1, 145, verbessert Athen. Mitt. XXI, 1896, 61 (Hiller v. Gärtringen). Nach fast unkenntlicher Überschrift:

[Οὐ μὲν ἀ[οι]δοὺς εἶχε Νίνου πόλις οὐδὲ παρ' Ἰνδοῖς
[. . . . .]της Μουσέων πτόρθος ἐνετρέφετο·
[πάντ]ων Ἡροδότου γλύκιον στ[ό]μα, καὶ Πανύασσιν
[οὐδ' αὐτ]ὴ Βαβυλὼν ἔτρεφεν ὠγυγίη,
5 ἀλλ' Ἁλικαρνασσοῦ κραναὸν πέδον· ὧν διὰ μολπὰν
[κλ]ειτὸν ἐν Ἑλλήνων ἄστεσι κῦδος ἔχει.

Die Ergänzungen in V. 1, 3, 4, 6 von Hiller v. Gärtringen. Das Lob des Herodot und Panyassis auch von Dionys. Halicarn. De vet. script. cens. 2f. verkündet. — 2 [καλλίσ]της Hiller v. Gärtr., [ποιη]τῆς Geffcken.

III. Grabinschriften (Nr 204—209).

A. Private (204—224).

204. HALIKARNASSOS. Ca. 2. Jahrhundert.
Kaibel 205.

Μύρτον Εὐβούλου Μυνδία
χρηστὴ χαῖρε.
Πατρὶς μὲν Μύνδος, γενέτωρ δέ μευ ἔπλετ' Ἰάσων,
στοργᾶι δ' Εὐβούλου κούρα ἀνεγραφόμαν·
τέκνον δ' ἀρτιγάλακτον Ἰάσονα ματρὶ λιποῦσα
ζωᾶς ἐστερόμαν ἐννεακαιδεχέτις·
5 αἰακτὰν δὲ θύγατρα κατεστενάχησε Στρατεία
οἷά τις εἰναλία δάκρυσιν ἀλκυονίς.
τοὔνεκα τὰν κατὰ γᾶς Μύρτον, ξένοι, αὐδήσαντες
χαίρειν τὰν αὐτὰν ἀντινέμεσθε χάριν.

3 ἀρτιγάλακτον: ἅπ. εἰρ.; ἀρταγάλακτον Herwerden. — 4 ἐννεακαιδεχ.: vgl. Ep. 182, 4. — 6 Zum Vergleich s. Passow-Crönert: Wörterbuch d. griech. Sprache 280 und Kaibel 241, 8. — 7f. vgl. Ep. 182, 8; 218, 2. — 8 vgl. Ep. 47, 4.

205. SYME. 2. Jahrhundert.
IG. XII 3 Suppl. 1271 p. 275 = Österr. Jahresh. V, 1902, 15f. (Chabiaras-Hula; mit Abbildung).

Εὐ[τυχί]αι ζώοντες ἐ[νὶ ξυνῆι κατὰ π]ό[τμον]
ξυνῆ τὴν Παρίην ἀμφεθέ[μεσθα π]έτρον·
κἀγὼ μὲν πάτρης τὸν ἀρήιον [ἤνυ]εσα θεσμό(ν),
ἡ δ' ἐς Ἀθηναίης ἔργα νόωι τρέπετο·
5 ἄμφω δ' ἀσπαστοὶ ξείνοισί τε καὶ πολιήται(ς)
κυάνεον Λήθης ἤλθομεν εἰς ἔρεβος
γηραιοί, μακάρεσσι τετιμένοι· ἦν ἄρα θνητο(ῖς)
ἐξ ἔργων ἀγαθῶν καρπὸς ὅδ' εὐσεβίης.

Die Namen standen auf einem anderen Stein. Die Ergänzungen von Keil (V. 1) und Paton (2): vgl. noch zu V. 1. Die letzten Buchstaben in V. 3; 5; 7 scheinen durch Behauung des Steines weggefallen. Zum Gedanken vgl. Kaibel 386; Denkschr. d. Wien. Akad. XLIV 91: Chabiaras-Hula. — 1 ἐ[νὶ ξυνῆι συνόμευνοι] Chabiaras-Hula. — 2 Παρίην . . . πέτρον: vgl. Leonidas Tar. A.P. VII 163, 1 (= Ep. 300). Über die feminine Form s. Ep. 187, 1. — 6 κυάνεον: vgl. Geffcken: Leonidas von Tarent 126.

206. SYME. Altarbasis. 1. Jahrhundert.
IG. XII 3, 10.

ˉΩ παρ' ἐμὸν στείχων τοῦτ' ἠρίο[ν εἶπ]ον, ὁδῖτα,
χαίρειν Εὐκλεῖος κοῦρον 'Αρισ[τ]όδαμον·
θνήσκω δὲ ὀγδώκοντα καὶ ἓξ ἐσιδὼν λυκάβαντας
καὶ παῖδας παίδων λείπω ὑπ' ἠελίωι,
5 οὐκ ὄλβωι βριάοντας, ἀριζήλωι δ' ἐπὶ δόξηι·
οἷς εἴη ταὐτὸν τέρμα λαχεῖν βιότου.

1 fast = Asklepiades: A.P. VII 500, 1. — 2 Vgl. Ep. 182, 8; 204, 7f. — Metrischer Verstoß beim Namen wie oft. — 4 vgl. Ep. 135, 4. — 5f. Solcher Gedanke vereinzelt.

207. RHODOS. 1. Jahrhundert.

Athen. Mitt. XX, 1895, 228 (Hiller v. Gärtringen); vgl. 396 (Diels).

[Φῶς ἐν 'Ιηλυσ]σίοισιν ἐσέδρακον, εὖ δ' ἐπὶ γουνοῖς
[— ῡῡ —], ἀλόχωι σώφρονι δ' εὐνασάμην·
[χάλκ]ειός τ' ἔστην χεύας περὶ ποσσὶ μόλυβδον,
[εὐ]δοκίμους ἀρετῆς ἀντιλαβὼν χάριτας.
5 καὶ πατρὶς πιστόν με νόμων προύκρινε πάρεδρον,
πολλάκι καὶ δήμου φθεγξάμεθ' ἐν πελάγει·
καὶ βύβλου πάσης ἐδάην ἰθεῖαν ἀταρπόν
εὑρεῖν, καὶ Μουσέων πάντροπος ἦν θεράπων,
ζηλωτὸς Φιλόνικος ὁ Κε[ρ]κάφου ἐν πολιήταις,
10 φαιδρὸν ἀμωμήτου τέρμα λαχὼν βιότου. —
πτόρθων δ' ἰτείνων τε καὶ αἰγίρων ἐριθηλέων
Κελτὸς ἐρεῖ καὶ ˉΙβηρ φῦναι ἀκαρπότερος.

Der Gelehrte gelehrt gepriesen: V. 6 vgl. Homer B 144f.; V. 11 vgl. κ 510. Die Vorliebe für exotische Namen (12) ist in Rhodos heimisch (IG. XII 1, 144; Ep. 203.) und deutet für dies Ep. auf die Zeit des Poseidonios hin: Hiller v. Gärtringen, von dem auch die meisten Ergänzungen sind. — 1 [Φῶς ἐν 'Ιηλυσ]σίοισιν Diels. — 2 [μητρὸς ἔτειλ'] Diels, schwerlich, es muß nach der Geburt und vor der Ehe deutlicher von der Erziehung die Rede sein, also etwa ἐκτρεφόμην. Daß der glückliche Besitzer eines Gutes (11f.) auf dem Lande erzogen worden war, wäre nur sehr natürlich.

208. KNIDOS (Nekropolis). Ca. 1. Jahrhundert.

Kaibel 204 = Ancient greek inscriptions in the Brit. Museum IV 1, DCCCXXIX b.

a. Λαϊνά σοι τύμβων δωμήματα Θεῖος ἔτευξα,
'Ατθίς, ὁ δὶς τῆς σῆς ἡλικίης προ(τ)ερῶν,
εὐξάμενος χειρῶν ἀπὸ σῶν κόνιν· ἄκριτε δαῖμον,
ἀμφοτέροις ἡμῖν ἔσβεσας ἠέλιον.

b. 5 Ἀτθίς, ἐμοὶ ζήσασα καὶ εἰς ἐμὲ πνεῦμα λιποῦσα,
ὡς πάρος εὐφροσύνης, νῦν δακρύων πρόφασι,
ἁγνά, πουλυγόητε, τί πένθιμον ὕπνον ἰαύεις,
ἀνδρὸς ἀπὸ στέρνων οὔποτε θεῖσα κάρα,
Θεῖον ἐρημώσασα τὸν οὐκέτι; σοὶ γὰρ ἐς Ἅδαν
10 ἦλθον ὁμοῦ ζωᾶς ἐλπίδες ἁμετέρας. —

c. Οὐκ ἔπιον Λήθης Ἀϊδωνίδος ἔσχατον ὕδωρ,
ὡς σὲ παρηγορίην κἂν φθιμένοισιν ἔχω,
Θεῖε, πλέον δύστηνε, γάμων ὅτι τῶν ἀμιάντων
νοσφισθεὶς κλαίεις χηροσύνην θαλάμων.

d. 15 Τοῦτο σαοφροσύνας γέρας Ἀτθίδι τᾷ πολυκλαύτῳ
οὐκ ἴσον, οὐδὲ ἀρετᾶς ἄξιον, ἀλλ᾽ ἐθέμαν
μνάμαν εἰς αἰῶνα φερώνυμον, αὐτὸς ἀνάγκᾳ
Θεῖος νηπιάχῳ πνεῦμα χαριζόμενος·
οἴσω γὰρ καὶ τοῦτο χάριν σέο καὶ τὸν ἀπηνῆ
20 ὄμμασι τοῖς στυγνοῖς ὄψομαι ἥλιον.

Über die alexandrinischen Gesetzen folgende Metrik und den Dialekt des Ep. vgl. Kaibel a. a. O. Die Gesprächsform (vgl. sonst Ep. 136; 148) hier sehr diskret geübt. — 2 προτερῶν Kaibel, προγερων der Stein, προγέρων Hirschfeld. — 3 vgl. auch Ep. 199. — ἄκριτε δ.: vgl. IG. XIV 1362, 3; Theodoridas: Ep. 319,1. — 6 sehr ähnlich IG. III 2, 1311, 2. — 7 πουλυγόητε: ἅπ. εἰρ. — 11—14 Antwort der Atthis. — 11 Ἀϊδωνίδος ganz ungewöhnliches Adjektiv. — 15ff. Neue Form für den alten Gedanken: vgl. zu Ep. 190, 1. — 20 ὄμμασι τοῖς στυγνοῖς = *miseris oculis:* Kaibel.

209. ASTYPALAIA (Kos.). Letzte hellenistische Zeit. Rhein. Mus. LXV, 1910, 636f. (Crönert).

Μή μοι πεῖν φέρεθ᾽ ὧδε, μάτην πέποται γάρ, ὅτ᾽ ἔζων,
μηδὲ φαγεῖν· ἀρκεῖ· φλήναφός ἐστι τάδε.
εἰ δ᾽ ἕνεκεν μνήμης τ(ε) καὶ ὧν ἐβίωσα σὺν ὑμεῖν
ἢ κρόκον ἢ λιβάνους δῶρα φέρεσθε, φίλοι,
5 τοῖς μ᾽ ὑποδεξαμένοις ἀντάξια ταῦτα διδόντες,
ταῦτ᾽ ἐνέρων· ζώντων δ᾽ οὐδὲν ἔχουσι νεκροί.
Κλευμάτρας.

Ganz anderer Ton als der bei Grabschriften gewöhnlich, doch auch dieser ist Stil (Kaibel 646b; ἀδ. A.P. XI 8; vgl. auch Kallimachos: A.P. VII 317f.; Leonidas Tar. 316). Der Gedanke auch bei iambischen Spruchdichtern (Gerhard: Phoinix von

Kolophon 265), das Wort φλήναφος bei Menander (fr. 109, 3; 482, 6 K.; Κόλαξ V. 21 Kö.); der sonstige Stil dagegen kallimacheisch: vgl. Crönert. — 1 πεῖν: itacistische Formen jetzt häufiger; vgl. auch Ep. 222 I 14.

210. CHIOS. 2.—1. Jahrhundert.

Kaibel 231 (der Stein nach Mitteilung Rehms nicht mehr gesehen).

Ἕβδομον εἰς δέκατόν τε βίου λυκάβαντα περῶντα
μοῖρά με πρὸς θαλάμους ἅρπασε Φερσεφόνας·
λαμπάδα γὰρ ζωᾶς με δραμεῖν μόνον ἤθελε δαίμων,
τὸν δὲ μακρὸν γήρως οὐκ ἐτίθει δόλιχον·
5 ἄρτι δ' ἐφηβείαις θάλλων Διονύσιος ἀκμαῖς
καὶ σελίσιν Μουσῶν ἤλυθον εἰς Ἀίδαν.
ἀλλά, πάτερ μᾶτέρ τε, προλείπετε πικρὸν ὀδυρμόν·
τέρμα γὰρ εἷς με βίου μοῖρ' ἐπέκρανε τόδε.

1 λυκάβαντα: dies Wort wird jetzt sehr häufig: vgl. auch Ep. 206, 3. — 2 θαλάμους . . . Φερσεφόνας: vgl. Ep. 133, 2. — 4 Das Bild alt: vgl. z. B. den Komiker Epikrates 3, 18 K. — 5 ἄρτι . . . θάλλων: vgl. Ep. 211, 1. — 6 σελίσιν hellenistisch. — 7 f. Dieser Trost von dieser Zeit ab häufiger.

211. CHIOS. Ca. 1. Jahrhundert.

Kaibel 233.

Ἄρτι σὲ τὸν θάλλοντα νέοις ἐπὶ γυμνάδος ἔργοις,
ἅβας καλλίστοις ἄνθεσι τερπόμενον,
ἤἰθεον, Πρώταρχε, πατὴρ ἐκαλύψατο τύμβωι,
ὀστέα δ' ὀγκωθεὶς οὗτος ἔδεκτο τάφος.
5 πρόσθεν δ' ὁ πρέσβυς πινυτῶι δεδμημένος ἄλγει
Ἰσιάδ' ὠκύμορον μύρετο θυγατέρα·
αἰ[ά]ξας δ' ἄπληστα παλίνδρομον ἔλλαβε πένθος
Πρώταρχος· γαμετὴν γὰρ στενάχησε λίην.
λάινα δ' ὤγκωσεν τάδε σήματα· τὰς γὰρ ἀφ' ὑμῶν
10 Ἅιδης γηροτρόφους ἐλπίδας ὠρφάνισεν.

Kommentar von Kaibel, der u. a. 1 ἄρτι in Gegensatz zu 5 πρόσθεν stellt. — 1 ἄρτι . . . θάλλοντα: vgl. Ep. 210, 5. — 4 ὀγκωθείς (vgl. 9): vgl. Ep. 179, 2. — 7 f. Neuer Verlust: Protarchos (gleichnamig mit seinem Sohne: Kaibel) verliert nach Tochter und Sohn seine Frau. — 9 f. τὰς γὰρ . . . ὠρφάνισεν: vgl. Ep. 149, 4; 7. — ἀφ' ὑμῶν . . . ὠρφάνισεν: *structura et nova neque elegans* (Kaibel).

212. CHIOS. Ziemlich lange v. Chr.

Kaibel 232.

Βιττὼ καὶ Φαινίς, φίλη Ἡμέρη, αἱ ξυνέριθοι,
αἱ πενιχραὶ γραῖαι, τῇιδ' ἐκλίθημεν ὁμοῦ,
ἀμφότεραι Κῶιαι, πρῶται γένος · ὦ γλυκὺς Ὄρθρος,
πρὸς λύχνον ὧι μύθους ἤιδομεν ἡμιθέων.

1 ξυνέριθοι: ἅπ. εἰρ. — 3 Ὄρθρος als göttliche Erscheinung sonst nur Nonnos: Dion. XXXI 138. — Die Schönheit der ionischen Epigramme erhält sich.

213. ARKESINE. 2.—1. Jahrhundert.
IG. XII 7, 115.

Τὸν δεκαὲξ ἐτέων ἀριθμοὺς προφέροντ' ἐν ἐφήβ[οις]
αἰνόδακρυν λεύσσεις, ξεῖνε, τὸν ἐν φθιμένοις,
πρὶν τελέσαι λυκάβαντος ὅλον δρόμον · ἦλθε γὰρ ἄλλας
τύρσιδος ἀγριόνους οὐχ ὅσιός τις ἀνήρ,
5 καὶ σὺν ὁμαλικίοισι νέων ἀνὰ γυμνάδα φαιδράν
στείχοντ' ἀνδροφόνωι δεξιτερᾶι παλάμαι
λόγχας ῥοιζήεντα βαλὼν ἀφύλακτον ἀκωκὴν
ἐν σταδίῳ πλευραῖς πικρὸν ἐνῆκε βέλος.
ἄχρι δ' ἐπ' ὀστέον ἦλθεν, ἑλεῖν δέ τις οὐδ' ἐπαρῆξαι
10 ἠδύνατ', ἀλλὰ βίαι γ' εἷκε, μόλις δ' ἄρεως
ἠλκύσθη προβολᾶι διὰ σώματος, αἷμα δ' ἀνέρρει.
χὠ μὲν ἔβα π(ε)λάγους (β)ένθος ἐπ' ἀτρύγετον,
πεμπταῖον δ' ἐμὲ <με> [μο]ῖρα τὸν ἐξ ἀγέλας Διότιμον
ἠϊθέων οἰκτρὰ μάρ<ι>[ψε]ν ἐν Ἀρκεσίναι
15 πατρίδι · καὶ μάτηρ μὲ[ν Ἀ]ρισταρέτη σὺν ὀδυρμῶι
κώκυσεν, γενέτας δ'[ἔστενε Σ]ωσαγόρας
δακρυχέων γηραιό[ς] · ἔδεκτ[ο] γὰρ ἀντὶ τροφήων
ἐλπίδος ἐν μελάθροις [π]ένθος, ἐπεὶ νεκύων
[εἰς ὀλ]οοὺς ἐπέρασα μυχούς · ὁ δὲ σύντροφος Ἑρμᾶς
20 [ὡδήγ]ησε λαβὼν χῶρον (ἐς εὐσεβέων).

Alexandrinische Kunst in der Erzählung sowie im Versbau (Enjambement!) angestrebt; die Nennung des Namens (13) spät: vgl. Ep. 130, 5. Kommentar zum Ep. gibt v. Wilamowitz zu IG. a. a. O. — 2 αἰνόδακρυν: ἅπ. εἰρ. — 3 vor der Vollendung des 1. Ephebenkurses: v. Wilamowitz. — 4 τύρσιδος = *villae rusticae:* v. Wilamowitz. — 5 γυμνάδα: exercitatio, vgl. Kaibel 223, 7. — 9 οὐδ' steht ἀπὸ κοινοῦ: v. Wilamowitz. — 10f. Der Arzt versuchte das aus dem Knochen nicht herauszuziehende Geschoß mit einem Messer (ἄρεως προβολᾶι) herauszubohren. — 10 γ' aus τ' verbessert. — 12 Der Täter entflieht. — πηλαγους ρενθος der Stein, verb. von Comparetti. — 14 verb. von Hiller v. Gärtringen. — 16 δ' ἔστενε

v. Wilamowitz, früher δ' ὤλετο ergänzt. — 17f. vgl. Ep. 180, 3. — 18f. μυχός oder μυχοί des Hades früh genannt: Aisch. Prom. 449; Eurip. Herakles 607f. u. ö. — 19 σύντροφος als Schutzpatron der Gymnasten. — 20 μ' ὠδήγησε Comparetti, verb. von Buecheler. — Nach χῶρον folgt auf dem Steine nichts; die Worte des Dichters hergestellt von Polak.

214. SAMOS. Ca. 100 v. Chr.
Abhandl. d. Preuß. Akad. 1909. II 62f. (v. Wilamowitz).

[Ψυ]χολιπὴς πολύδακρυς Ἐπηράτου ἐνθάδε κεῖται
[κο]ῦρος, πατρὶ λιπὼν πικρὰ γόων πάθεα
[μ]ατρί τε παμπληθὺν θρήνων γόον· ἐγ δὲ λοχείας
[ὠ]δῖνα στυγερὴν εἰς Ἀΐδαν ἔτεκεν.
5 ἄρτι γὰρ ἐξ ὤμων πορπάματα θήκατο κοῦρος
καὶ παρεφηβείης ἐξετέλει πέρατα
ἄλκιμον ἐν στήθεσσιν ἔχων φρένα· παγκρατίωι δὲ
ἀϊθέων νίκαν ἥρατο κυδάλιμον·
ἡ δὲ βίου στρέπτειρα λίνου κλωστῆρι βιαίωι
10 μοῖρα Φίλωνι βίου πικρὸν ἔθηκε τέλος·
δακρυχαρὴς Ἀΐδας γὰρ ἀνάρπασεν οὐδ' ὑμεναίων
δαδοῦχον φιλίης τέρψιν ἀειράμενον.
Μίνως ἐν θνατοῖσι δικαστύας ἔξοχα κρείνων
τὸν νέον εὐσεβέων χώρῳ ἐναγλάισον.

Höchst geziertes Ep. (Charakteristik bei v. Wilamowitz a. a. O.); der Name erscheint wieder spät (V. 10): vgl. Ep. 130, 5. — 1 ψυχολιπής: vgl. ἀδ. Plan. 266, 4. — 2 πικρὰ γ. πάθεα: alexandrinische Weitläufigkeit, vgl. 3f. — 3 παμπληθύν: als Adjektivum ἅπ. εἰρ., sonst παμπληθής. — γόον absichtliche Variation von V. 2 γόων. — ἐγ . . . 4 ἔτεκεν: vgl. zu V. 2. — 5 πορπάματα: Kindertracht (v. Wilamowitz). — 6 παρεφηβείης: unterste Klasse des Gymnasions (v. Wilamowitz). — ἐξετέλ. περ. vgl. 2; 3f. — 9f. Vgl. Ep. 222 II 15; 224, 8. — 9 βίου allgemeiner als 10. — 11 δακρυχαρὴς Ἀ.: vgl. IG. XIV 769, 5. — οὐδ' . . . 12 ἀειράμενον: Der Genuß des ὑμέναιος, die Hochzeit, ist der δαδ. zur Freundschaft, führt durch die ἀφροδίσιος ὁμιλία zur φιλία, wie die Popularphilosophie lehrte: v. Wilamowitz. — 13 Μίνως: Die Richter der Unterwelt öfters in den Epp. genannt: Ep. 217, 7f.; 221, 5; Kaibel 452, 19; 514, 5. — θνατοῖσι = den Toten, sehr merkwürdig: v. Wilamowitz. — δικαστύας: ἅπ. εἰρ. — 14 ἐναγλάισον: ἅπ. εἰρ., affektiert für ἐντιθέναι: v. Wilamowitz.

215. PAROS. 1. Jahrhundert.
IG. XII 5, 305.

Πατρ[ὶς γαῖά μ' ἔ]πεμψε δικαστὴν Μυλασέεσσι,
ἤδη δ' εὐδοκιμῶν ἐξέλιπον βιοτάν,
'Ακρίσιος, πατρὸς μὲν 'Ιάσονος, ἐκτέρισαν δέ
Μυλασέες χρυσέοις στεψάμενοί με κλάδοις·
5 ταῦρον δ' ἀμφὶ πυρῇ σφάξαν τιμαῖσι σέβοντες
δαίμονί μου νέρθεν σὺν χθονίοισι θεοῖς.
υἱὸς δ' 'Ακρίσιος συνομόπλοος ἤλυθε πατρί
γραμματέως τάξ[ει], πειθόμενος πόλεϊ,
καί μου πνεῦμα λιπ[όν]τος ἐμᾶς ἀρετᾶς ἐφάμιλλος
10 Μυλασέων δικάσ[αι μο]ι διέδεκτο κρίσεις,
ὀστέα δὲ ἱμερταῖσ[ι πάτ]ραν ἐκόμιζε χέρεσσι
τὸν Πάριον Παρία[ι γᾶι] καταθεὶς γονέα.
ὧι φυσικαὶ τοκέων [στ]οργαὶ πρὸς τέκνα ποθεινά
ὡς ὁσίαν υἱῶν τ[ὰ]ν χάριν ἀντέλαβον.

In der Hauptsache eine geschwätzige Selbstanpreisung des hinterbliebenen Sohnes. — Ergänzungen nach Früheren von Hiller v. Gärtringen und v. Wilamowitz (V. 10; 13 ὧι). — 13 f. vgl. Ep. 221, 6.

216. ERYTHRAI. 50 v. Chr. — 100 nach Chr.
Abhandl. d. Preuß. Akad. 1909. II 61 (v. Wilamowitz).

['Οκτ]ωκαιδεχέτη δαίμων ἥ[ρπαξέ μ' ἀφειδής]
Φωτινὸν πένθος θρεψαμένοισι [πικρόν].
οὔνομα δ' ἐστὶν ἐμὸν ψευδώνυμον· οὐ γ[λυκὺ φέγγος],
ἀλλ' 'Αίδην ἐσορῶι λυγρὸν ἐπιχθονίοις.

darunter 4 cm tiefer:

Φωτινὲ Λάκωνος
χρηστὲ χαῖρε.

Die Aspiration von [ὀκτ]ωκαιδεχέτη und das ἐσορῶι (4) deuten auf die Zeit 50 v. Chr. bis 100 n. Chr.: v. Wilamowitz. — 1 [ὀκτ]ωκαιδεχέτης: vgl. Ep. 182, 4.

217. SMYRNA. 2. Jahrhundert.
Athen. Mitt. XXIII, 1898, 268ff. (Wolters).

'Α λάλος ἐν ζω(ι)οῖσι τὰ μὴ ζώοντα παρ' [ἀ]στοῖς
Φάμα καρύσσω μουσοεπεῖ στόματι·
Ζμύρνα πάτρα, γενέτας Δημήτριος ἠδὲ τεκοῦσα
Νάννιον ἔκλαυσαν δισσὰ κόρων πάθεα·
5 ὧν ὁ μὲν οὐκ ἐτέλεσσεν ἐνὶ ζωιοῖς ἐνιαυτοῦ
πλείω, μοῖρα δὲ σή, Ματρέα, ἦν τρι[έ]της·

'Αΐ[δ]ε̣ω πυλάουρε, σὺ δ' εὐαγέων ἐνὶ ϑ̣ώκο[ι]ς,
Αἰακέ, σ̣ημήναις ᾗι ϑέμις ἀτραπιτόν.

1 (ἐν ζωοῖσι τ. μ. ζώοντα: vgl. Ep. 179, 4). — παρ' ἀστοῖς zu καρύσσω zu beziehen: Wolters. — 7 'Αΐ[δε]ω viersilbig gemessen: vgl. Jacobs zu Diodoros: A.P. VII 624, 2 (Wolters). — Aiakos als Pförtner des Hades: vgl. Wörner bei Roscher: Lexikon d. griech. u. röm. Mythologie I 112 (Wolters). Über die Richter der Unterwelt vgl. zu Ep. 214, 13.

218. KERKYRA. Marmortafel. Anfang des 1. Jahrhunderts v. Chr. (vgl. auch den Kommentar).

IG. IX 1, 877.

Βαιὸν ὁρῇς, ὦ ξεῖνε, τόδ' ἠρίον, ἀ[λλὰ μάλ' εἰπὼν]
τῶι κατὰ γῆς χαίρειν Νικομάχ̣[ωι πάριϑι]·
'Ρηνείη<ι>, σὺ δὲ κῦδος ἐν ἄλλω[ι ζήτεε, γαία]ς
τὸν δορὶ καὶ βουλᾶι πρόφρον[ι κλεινότατον]
5 κευϑούσης ἀλόχου Νίκης μ̣ε̣[τα σύν τε ϑυγατρί],
Ζωσίμη ἧς ὄνομ' ἦν· ἃς ἐτρύγη̣[σ' 'Αΐδας],
τὰν μ̣ὲν ἔτ' ἐκ τοκετοῖο κακὰς̣ [ὠδῖνας ἔχουσαν],
τὰν [δ]ὲ νόσωι στυγερᾶι χρ[ιμψαμέναν πρὸ μόρου].
κα̣[ὶ ‿‿—] βουλαῖσιν ἰσοφρον [‿— ‿‿ — ‿]
10 [— ‿‿ — με]λ̣έαν εἴδομεν α[ὐξομέναν]. —
[ψυχὰ δ' αἰϑερ]ίοισι μετάρσι[ος ἀίξασα]
[πτήμασιν εἰς οἴκους ε]ὐσεβέων [ἀνέβα].

Ergänzungen von Dittenberger (doch s. zu V. 9f.), der, allerdings nicht ohne Bedenken, das Ep. in mithradatische Zeit verlegt. — 1 vgl. zu Ep. 190, 1. — ἀ[λλὰ] . . . 2 vgl. Ep. 204, 7f. — 5 Νείκης in Νίκης auf dem Steine verbessert. — 8 χρ[ιμψαμέναν . .] Dittenberger, der das sonst sich darbietende χρησαμέναν für unpoetisch hält. — 9f. κα[ὶ πάτραν] βουλαῖσιν ἰσόφρον[ος εἰϑυντῆρος | 'Ρηνείην με]λέαν εἴδομεν α[ὐξομέναν] Dittenberger, der jedoch nicht verkennt, daß weder das Vorhergehende noch das Folgende dazu paßt. Der Rest von V. 9 führt im Anschluß an das Vorhergehende auf ein Lob der Gattin des N., also etwa κα̣[ί τ' ἄλοχομ] βουλαῖσιν ἰσοφρον[έουσαν ἅμ' ἀνδρί]; dann wird entsprechend dem V. 8 folgen: [παῖδά τε τὴν με]λέαν εἴδομεν α[ὐξομέναν].

219. KERKYRA. Wohl auch 1. Jahrhundert.

IG. IX 1, 878.

[Ξε]ῖνε, τίς εἶ; — Ζήνων· — πατρός τίνος; — 'Ηλιοδώ̣ρ̣ο̣υ. —
ε̣ἶ σύ γ', ὃν ἠϊϑέων Δῆλος ἔφερβε ϑάλος; —

κεῖνος, ἐφ' ὧι καὶ πέτρος ἀλιξάντωι παρὰ τύμβωι
δακρύει γοεροῦ θρῆνον ἱεὶς στόματος.
5 δμη[θ]εὶς γὰρ νούσῳ τὸν ἀλάμπετον ἦλθον ὑφ' Ἅδην,
δισσὰς ἐξ ἐτέων πλησάμενος δεκάδας. —
δύστηνοι γενέται, Ζήνων, σέθεν, οἷσι λέλοιπας
ἄλγεα καὶ κωφοῦ ψυχρὸν ἄγαλμα τάφου.

Das Ep. stand unter einer Aphroditestatue, die Drusus und Antonia (resp. Drusus der jüngere und Livia) zuerst in ihrem Schlafgemache, dann in Sinuessa aufstellten. Über das dortige Bad vgl. H. Nissen: Italische Landeskunde II 665. Junior, der Dichter, ist Lucilius Junior, Senecas Freund: Kiessling. Zum Thema vgl. Ep. 308. — 5 κείνης: der Antonia. — 7 *tabernas vinarias:* Visconti. — 10 von den Thermen die Rede: v. Wilamowitz; neben der Aphrodite stand Eros, die Fackel den Gewässern nähernd.

349. THESPIAI. Weihung Hadrians.
IG. VII 1828 = Kaibel 811.

Ὦ παῖ τοξότα Κύπριδος λιγείης
Θεσπιαῖς Ἑλικωνίαισι ναίων
ναρκισσοῦ παρὰ κῆπον ἀνθέοντα,
ἱλήκοις· τὸ δέ τοι δίδωσι, δέξο,
5 ἀκροθείνιον Ἁδριανὸς ἄρκτου,
ἣν αὐτὸς κάνεν ἱππόθεν τυχήσας.
σὺ δ' αὐτῶι χάριν ἀντὶ τοῦ σαόφρων
πνέοις οὐρανίας ἀπ' Ἀφροδίτης.

1 Κύπρις λιγεῖα unbekannt, daher K. γλυκείας Herwerden. — 5f. vgl. Spartianus: Hadr. 20, 13 (Kaibel; z. t. gegen diesen Dittenberger IG. a. a. O.) und auch noch Carm. lat. epigr. ed. Buecheler II 1522.

350. ROM. Weihung an Herakles. 2. Jahrhundert n. Chr.
IG. XIV 1003 = Kaibel 831.

Ὦ Διὸς Ἀλκμήνης τε μεγάσθενες ὄβριμον αἷμα,
ἵστορ ἀταρβήτων, Ἡράκλεες, καμάτων,
ἠνίδε τοι τόδ' ἄγαλμα φέρων κρητῆρος ἀγητὸν
θῆκα τεῶν ἀέθλων πλεῖον [εὐ]γλυφέων,
5 οὓς ποτ', ἄναξ, ἐτέλεσσας, ὑπε[ρ]φιάλους ἀδίκους τε
ἄνδρας ἰδ' ὠμηστὰς θῆρας ἐναιρόμενος·
τῷ σε καὶ υἷα Δίκηι Κρονίδης θετὸν ἐγγυάλιξε,
εὖτέ μιν ὑβρισταὶ φῶτες ἄτ[ι]μον ἄγον.
ἤπιος εὐμενέων τε πέλοις, ἐπειὴ νύ μοι αἰεὶ
10 εὐχομένωι τε πάρει χεῖρά θ' ὕπερθεν ἔχεις·
καὶ δὴ νῦν μ' ἐσάωσας ἀμείβ[ον]τα κλυτὰ φῦλα
Κελτῶν καὶ Λιγύων ἄστυ πρ[ὸς] Αὐσόνιον·
αὐτὸν ἀλεξητῆρα κακῶν, αὐτόν σε δοτῆρα
παντοίης ἀρετῆς κλῄιζομεν, Ἡράκλεες.

2 ἀταρβήτων: vgl. zum Sprachgebrauch Ep. 186, 2. — 4 [εὐ]γλυφέων Buecheler; die übrigen Ergänzungen von Henzen. — 7f. vgl. Waser: RE V 1, 575.

351. ROM. Basilica Julia. Ca. 2. Jahrhundert n. Chr.
IG. XIV 1014 = Kaibel 802.

[Σ]οὶ τόδε, συρικτά, ὑ[μνη]πόλε, μείλιχε δαῖμο[ν],
ἁγνὲ λοετροχόων κοίρανε Ναϊάδων,
δῶρον Ὑγεῖνος ἔτε[υ]ξ[ε]ν, ὃν ἀργαλέης ἀπὸ νούσου
αὐτός, ἄναξ, ὑγιῆ θήκαο προσπελ[ά]σ[α]ς·
5 πᾶσι γὰρ [. . . . .]εσσιν ἐμοῖς ἀνα[φ]ανδὸν ἐπέστης,
οὐκ ὄναρ, ἀλλὰ μέσους ἤματος ἀμφὶ δρόμους.

Ergänzungen von Matranga, doch V. 5 [ἐν τεκέ]εσσιν Curtius, [ἐν κτήν]εσσιν oder [ἐν σκυλάκ]εσσιν] Roscher, [οὖν ἄλγ]εσσιν] Wünsch: da ἐπιστῆναι, sehr oft vom Nahen der Träume oder der Gottheit gebraucht, zumeist den Dativ nach sich hat, ist Wünschs Vorschlag (sonst auch . . παθέεσσιν) annehmbarer. — 6 Solche Bezeugung der göttlichen Erscheinung seit Homer τ 547 Stil: vgl. Verg. Aen. III 173; Carm. lat. epigr. ed. Buecheler II 1109, 10. — Über Pan als Heilgott s. Preller-Robert: Griechische Mythologie I 741, 2.

352. HIERAPOLIS CASTABALA am Pyramus (Ostkilikien). — Römische Zeit.

CIL. III Suppl. 2, 12116 = Cagnat: Inscript. graec. ad res Roman. pertinentes III 903 = J. Hell. stud. XI, 1890, 252 (Hicks). Nach lateinischer Inschrift auf Dexter Rutilianus:

[Εἴτε Σ]εληναίην εἴτ' Ἄρτεμιν [εἴτε σ]ε, δαῖμον,
πυρφόρον, [ἐν τρι]όδῳ τὴν σεβόμεσθ', Ἑκ[άτ](η)ν,
εἴτε (Κ)ύπριν Θήβης λα[ὸς] θυέεσσι γεραίρει
(ἢ) Δηὼ κούρας μητέρα Φερσεφόνης,
5 κλῦθι καὶ ἡγεμονῆα τεὸν σῶόν τε φύλασσε
καὶ κλεινὴν ὕπατον πέμψον ἐς Εἰταλίην.
Λεύκιος εἰητὴ[ρ] τόδε σοι βρέτας οὗ ἑτάροιο
Δέξτρου καὶ τούτους ὀκτὼ ἔδωκε τύπους.

Der Arzt Lucius bittet Artemis um gute Fahrt für Dexter. V. 2, 3, 4 ergänzt von Kaibel und v. Wilamowitz, der Rest von Hicks. — 1—4: „*Dea Castabalensis proprie Artemis* (*Strab.* 12,2, 7p. 537) *hic item est Selene, Hecate, Aphrodite, Demeter* . . . 3 *significantur Cilices apud Homerum degentes Thebis* (*cf. Strab.* 14, 5; 21p. 676): Mommsen. — 2f. Ἑκ[άτ](η)ν | εἴτε (Κ)ύπριν: Εκ . . πνειτεσυπριν der Stein. — 4 (ἢ): ν der Stein.

B. Ehreninschriften (Nr. 353—355); vgl. zu Nr. 123ff.

353. ELEUSIS. 125 n. Chr.
IG. III 1, 900 = Kaibel 863.

Μήτηρ Μαρκιανοῦ, θυγάτηρ Δημητρίου εἰμί,
οὔνομα σιγάσθω · τοῦτ' ἀποκληιζομένη,
εὖτέ με Κεκροπίδαι Δηιοῖ θέσαν ἱεροφάντιν,
αὐτὴ ἀμαιμακέτοις ἐγκατέκρυψα βυθοῖς.
5 οὐκ ἐμύησα δ' ἐγὼ Λακεδαιμονίης τέκνα Λήδης,
οὐδὲ τὸν εὑράμενον παυσινόσους ἀκέσεις,
οὐδὲ τὸν Εὐρυσθῆϊ δυώδεκα πάντας ἀέθλους
ἐξανύσαντα μόγωι καρτερὸν Ἡρακλέα ·
τὸν χθονὸς εὐρυχόρου δὲ καὶ ἀτρυγέτης μεδέοντα,
10 τὸν καὶ ἀπειρεσίων κοίρανον ἡμερίων,
ἄσπετον ὃς πάσαις πλοῦτον κατέχευε πόλεσσιν,
Ἀδριανόν, κλεινῆς δ' ἔξοχα Κεκροπίης.

Hadrians Einweihung in die Mysterien: Cass. Dio LXIX 11, 1 (Boeckh; Kaibel); vgl. Foucart: Revue de philol. XVII, 1893, 200. — 10 ἡμερίων: vgl. Ep. 199, 5; 354, 4. — 12 Κεκροπίης: zu ergänzen πόλεσι (oder πόλει) καταχεύαντα πλοῦτον: Boeckh. — Vgl. zu dieser Einweihung auch BCH. XIX, 1895, 119f. (Philios).

354. EPIDAUROS. 2. Jahrhundert n. Chr.
IG. IV 1153 = Kaibel 877b.

Ἄνθετο μέν μ' Ἐπίδαυρος Ἀριστείδαο Φίλιππον
Περγαμόθεν, θείας κοίρανον ἱστορίας,
ἀγλάισαν δ' Ἕλλανες, ἐπεὶ πολεμογράφον αὐδάν
ἔκλαγον ἀμερίων κόσμον ἐπερχόμενος.

Eine ruhmredige in ionisierender Prosa abgefaßte Inschrift folgt, die von den Bemühungen dieses Historikers um die Kriegsgeschichte und die Darstellung ihrer Greuel zeugen soll. Kaibel vergleicht Lukian. De hist. conscr. 16ff.; nach Martha ist es das Prooemium von Philippos' Geschichtswerk. — 4 ἀμερίων: vgl. Ep. 353, 10.

355. SPARTA. 2.—3. Jahrhundert n. Chr.
IG. V 1, 540 = Kaibel 917 = Loewy 348.

Τὸν κλυτὸν ἡγεμονῆα Χαρείσιον ἄνθετο κούρα
Σπάρτας ἁ πρώτα Πηνελόπεια νέα,
[ἣ]ν μέγα χάρμα πάτρᾳ [Σ]παρτιατικὸς ἠέξησεν,
κυδάλιμος [γ]ενέτωρ κυδαλίμα[ν] θύγατρα.

2 Πηνελόπεια: dasselbe IG. IV 491, 2; Kaibel 250, 2; vgl. auch Ep. 359 p 5.

C. Monumente (Nr. 356).

356. ROM. Außerhalb der Porta Trigemina. Herme des Menander. 2. Jahrhundert n. Chr.

IG. XIV 1183 = Kaibel 1085.

[Μέ]νανδρος.

a. [Οὐ φθόνος ἦ]ν στῆναι σὺν Ἔρωτι φίλῳ σε, Μένανδ[ρε],
[οὗ ζώων γ'] ἐτέλεις ὄργια τερπνὰ θεοῦ·
[δῆλος δὲ εἶ] φορέων αἰεὶ θεόν, ὁππότε καὶ νῦν
[εἰκόνα σ]ὴν κατιδὼν αὐτίκα πᾶς σε φιλεῖ.

b. 5 [Φαιδρὸν ἑ]ταῖρον Ἔρωτος ὁρᾷς, Σειρῆνα θεάτρων,
[κλωσὶ Μ]ένανδρον ἀεὶ κρᾶτα πυκαζόμενον,
[φησὶν δέ· „ἀ]νθρώπους ἱλαρὸν βίον ἐξεδίδαξα
[ἐμπλήσας] σκηνὴν δράμασι πᾶσι γάμων“.

c. [Οὐκ ἄλλως] ἔστησα κατ' ὀφθαλμούς σε, Μένανδ[ρε],
10 [γείτον' Ὁ]μηρείης, φίλτατέ μοι, κεφαλῆς·
[Εἴ σέ γε δεύτ]ερα ἔταξε σοφὸς κρείνειν μετ' ἐκεῖνον
[γραμματι]κὸς κλεινὸς πρόσθεν Ἀριστοφάνης.

1 [Οὐ φθόνος ἦ]ν Kaibel, ἔπρεπε μὴν Stephani, οὐ μεμπτὸν Nauck. — 2 οὗ ζώων γ' Nauck, ὃς πρόσθεν γ' Stephani. — 4 ergänzt von Nauck. — 5 [Φαιδρὸν ἑ]ταῖρον Ursinus, ἐσθλὸν ἑ. Stephani, Nauck. — 6 ergänzt von Stephani. — 7 ergänzt von Nauck. — Zur direkten Rede vgl. Ep. 125, 4. — 8 [ἐμπλήσας] Kaibel, μεστώσας Nauck. — 9 ergänzt von Stephani. — κατ' ὀφθαλμούς: *ante meos oculos* Kaibel; es redet der Besitzer Aelianus (vgl. IG. XIV 1188). — 10 ergänzt von Kaibel. — 11 ergänzt von Kaibel, [ὅντινα δεύτ]ερα v. Wilamowitz.

D. Memnonstatue (Nr. 357—358).

357. Epigramme der BALBILLA. 130 n. Chr.

O. Hoffmann: Die griechischen Dialekte II S. 124ff. = Kaibel 989—992 = SGDI. 320—322 = Puchstein. Epigrammata graeca in Aegypto reperta. Diss. Argent. IV. 1. 1880. p. 15ff.

Zum Dialekt s. A. Thumb: Handbuch der griech. Dialekte 250f.; 254—266.

a. Ἰουλίας Βαλ(β)ίλλης, ὅτε ἤκουσε τοῦ Μέμνο(νο)ς ὁ Σεβαστὸς Ἁδριανός.

Μέμνονα πυνθανόμαν Αἰγύπτιον, ἀλίω αὔγαι
αἰθόμενον, φώνην Θηβαΐ(κ)ω 'πυ λίθω·
Ἀδρίανον δ' ἐσίδων, τὸν παμβασίληα πρὶν αὔγας
ἀελίω χαίρην εἶπέ (Ϝ)οι ὡς δύν(α)τον·

5 Τίταν δ' ὅττ' ἐλάων λεύκοισι δι' αἴθερος ἵππο ς
ἐν<ι>σκίαι ὠράων δεύτερον ἦχε μέτρον,
ὡς χάλκοιο τύπεντ[ο]ς ἴη Μέμνων πάλιν αὔδαν
ὀξύτονον · χαίρω[ν κα]ὶ τρίτον ἆχον ἴη.
κοίρανος Ἀδρίανο[ς τότ'] ἄλις δ' ἀσπάσσατο καὔτος
10 Μέμνονα · κάν σ[τά](λ)αι κάλλ[ιπ]εν ὀψιγόνοις
γρόππατα σαμαίνο[ν]τά τ' ὄσ' ε[ὔ]ιδε κὤσσ' ἐσάκουσε ·
δῆλον παῖσι δ' ἔγε[ν]τ' ὥς (ϝ)ε φίλισι θέοι.

Überschrift: ΒΑΛΙΛΛΗC ... ΜΕΜΝΟC der Stein. — 2 ΘΗΒΑΙΧΩ der Stein. — 4 ΓΟΙ, 12 ΓΕ der Stein: vgl. Thumb a. a. O. 251. — ΔΥΝΛΤΟΝ der Stein. — 12 φίλισι entweder aus φίλεισι verschrieben oder die zu Balbillas Zeit übliche Aussprache des ει: O. Hoffmann.

b. Ὅτε σὺν τῇ Σεβαστῇ Σαβείνηι ἐγενόμην παρὰ τῷ Μέμνονι.

Αὔως καὶ γεράρω, Μέμνον, πάι Τιθώνοιο
Θηβάας θάσσων ἄντα Δίος πόλιος,
ἢ Ἀμένωθ, βασίλε[υ] Αἰγύπτιε, τὼς ἐνέποισιν
ἴρηες μύθων τῶν παλάων ἴδριες,
5 χαῖρε καὶ αὐδάσαις πρόφρων ἀσπάσδ[ε]ο [καὔτα]ν
τὰν σέμναν (ἄ)λοχον κοιράνω Ἀδριάνω.
γλῶσσαν μέν τοι τμᾶξε καὶ ὤατα βάρβ[αρος] ἄνηρ,
Καμβύσαις ἄθεος [— ◡◡ — ◡◡ —]
δῶκέν τοι ποίναν, τὼς [— ◡◡ — ◡◡ — —]
10 τῶ 'νήλασ' Ἆπιν κά[κ]τανε τὸν θέιον ·
ἀλλ' ἔγω οὐ δοκίμωμι σέθεν τόδ[ε — ◡◡ — —],
ψύχαν δ' ἀθανάταν λοί(γω) ἔσωσ(ε) [θέος].
εὐσέβεες γάρ ἔμοι γένεται [◡◡ — ◡◡ — —],
Βάλβιλλός τ' ὁ σόφος κἀντίοχος [βασί]λε[υς].
15 Βάλβιλλος γενέταις μᾶτρος βασιλήϊδος ἄκ[μας],
τῶ πάτερος δὲ πάτηρ Ἀντίοχος βασίλευς.
κήνων ἐκ γενέας κἄγω 'λοχον αἶμα τὸ κᾶλον ·
Βαλβίλλας δ' ἔμεθεν γρόπτα τάδ' εὐσέβε[ος].

5 ἀσπάσδ[ε]ο [καὔτα]ν Puchstein, Hoffmann erkennt nur noch ΑCΠ. — 6 ΛΛΟΧΟΝ der Stein. — 7f. öfters erwähnt, vgl. Kaibel 1000, 7f.; 1003, 2ff. — 7 βάρβαρος ἄνηρ Puchstein, gesichert durch Hoffmanns letzte Lesung:. — 8 hinter ἄθεος zunächst wahrnehmbar ΤΟ, dann undeutlicher ΙΡΜ (ΙΡΛ?), es folgt ΑΥΓ.ωΟΝΑ: daraus vielleicht herzustellen τέρμ' ἀδύτω ὀναβάς (den höchsten Gipfel des heiligen Bildes er-

steigend, d. h. um es zu verstümmeln). — 9 nach ποίναν liest Puchstein: ΤωCω[IC.C..OIN.\IC], Hoffmann ΤωCωIOC.ЄωIN. Bei der oft stark verderbten Schreibung des Ep. Änderungen nötig, also vielleicht: τὼς οὔτασε σῶμα σιδάρῳ (das Zusammentreffen, daß Kambyses sich selbst mit dem Schwerte tötete, mit dem er den Apis erstochen (Puchstein), erinnert etwas an Herodot. III 64). — 10 θέιον von Collitz ergänzt, von Hoffmann gelesen. — 11 τόδ[ε πνεῦμ' ἀπόλεσθαι] Franz, kaum richtig, nach ΤΟΔ liest Hoffmann .ʼIO, was keine Ergänzungen zuläßt. — 12 ΛΟΙΤΟΝЄCωCΟ liest Puchstein, ΛΟΙΤωЄCωCΟ Hoffmann, dessen Textverbesserung aufgenommen ist. — 13 nach γένεται liest Puchstein Iι.II[ΠΟΝ.ΤΑ], Hoffmann erkennt Ʀ.IIΓΟΝ. Da Balbilla sich mit ihrem edlen Geschlechte und ihrer Frömmigkeit rühmt, in V. 13 aber auch von der Frömmigkeit ihrer Ahnen die Rede ist, so erfordert der Zusammenhang den parallelen Hinweis auf den alten Adel auch dieser Vorfahren; demnach vielleicht zu ergänzen: πάππων ἀγάθων τε. — 15 ἄκ[μας] Letronne, Puchstein: vgl. c 3. — 18 εὐσέβε[ος] Bailie.

c. Ὅτε τῇ πρώτῃ ἡμέρᾳ οὐκ ἀκούσαμεν τοῦ Μέμνονος.

Χθίσδον μέν, Μέμνọν, σίγαις [⏑⏑ — ⏑ ⏑ — ⏓],
ὠς πάλιν ἀ κάλα τυῖδε Σάβιννα ἀν[ο —].
π(ά)ρπει(σ)αί σ', ἐράτα μόρφα βασιλήιδος ἄκμας,
ἐλθοίσαι σ' [α]ὔται θήιον ἄχον ἴῃ,
5 μή καί τοι βασίλευς κοτέσῃ, τό νυ δᾶρον ἀτά[ρβως]
τὰν σέμναν κατέχῃς κουριδίαν ἄλοχον. —
κὼ Μέμνων τρέσσαις μεγάλω μέν[ο]ς Ἀδρι[άνοιο]
ἐξαπίνας αὔδασ', (ἀ)δ' ὀίοισ' ἐχάρῃ.

1 σίγαις gesichert, dahinter steht etwas wie ΑῡЄΚωΝΛωΤΑ. Da die Zahl der Buchstaben zum Versschlusse nicht genügen würden, muß auch mit Ausfall gerechnet werden, also vielleicht ἄτε (= ἅτε) κώματ' ἀώτῳ = (schweigend) wie im gehörlosen Schlaf). — 2 ἀν[όδα] Puchstein (Hoffmann) nach den vorhandenen Spuren: ΑΝΟωΑ. — 3 πάρπεισαι σ' (= da Sabinna zum zweiten Male kommt, um dich durch Bitten zu bewegen) Hoffmann (vgl. A. Thumb a. a. O. 265), überliefert: ΠΡΠЄΙΓΑΙC. — 4 σ' [α]ὔται: *ei (Sabinae) quae ad te (Memnonem) venit:* Puchstein. Das Ganze (v. 1—4) hieße dann: Gestern schweigend, laß nun, wo S. zum zweiten Male naht, ihr, der zu dir gekommenen, den göttlichen Laut vernehmbar

werden. — 5 ἀτά[ρβως] Puchstein. — 7 MEN.C = μένος Puchstein, zwischen N und C scheint ein verschriebenes T zu stehen. — Ἀδρι[άνοιο] Kaibel. — 10 ΛΔΟΙΟΙC der Stein.

358. Kaibel 993; vgl. Puchstein a. a. O. 39. Ca. 150 n. Chr.

Ἀσκληπιοδότου.

Ζώειν, εἰναλίη Θέτι, Μέμνονα καὶ μέγα φωνεῖν
μάνθανε, μητρώηι λαμπάδι θαλπόμενον
Αἰγύπτου Λιβυκῆισιν ὑπ' ὀφρύσιν, ὧν ἀποτάμνει
καλλίπυλον Θήβην Νεῖλος ἐλαυνόμενος·
5 τὸν δὲ μάχης ἀκόρητον Ἀχιλλέα μήτ' ἐνὶ Τρώων
φθέγγεσθαι πεδίωι μήτ' ἐνὶ Θεσσαλίηι.

Ποιητοῦ· ἐπιτρόπου.

Asklepiodotos Prokurator und Dichter des Ep.

E. Grabinschriften (Nr. 359—366).

359. CARALES auf Sardinien. Ca. Christi Geburt.
IG. XIV 607e—y = Kaibel 547 = CIL. X 2, 7567f.; 7571f.; 7577; vgl. Carm. lat. epigr. ed. Buecheler II 1551.

e. Εἰς ἴα σου, Πώμπτιλλα, καὶ ἐς κρίνα βλαστήσειεν
ὀστέα καὶ θάλλο[ι]ς ἐν πετάλοισι ῥόδων
ἡδυπνόου τε κρόκου καὶ ἀγηράτου ἀμαράντου,
κείς καλὰ βλαστήσαις ἄνθεα λευκοΐου,
5 ὡς ἴσα ναρκίσσωι τε πολυκλαύτωι θ' ὑακίνθωι
[κ]αὶ σὸν ἐν ὀψιγόνοις ἄνθος ἔχοι τι χρόνος.
[ἥδε] γάρ, ἡνίκα πνεῦμα μελῶν ἀπέλυε Φίλιππος
[ψυχ]ὴν ἀκροτάτοις χείλεσι προσπελάσας,
στ[ᾶ]σα λι[π]οψυχ[ο]ῦντος ὑπὲρ γαμέτου Πώμπτιλλα
10 τὴν κείνου ζωὴν ἀντέλαβεν θανάτου.

f. Οἵην συζυγίην ἔτεμεν θεός, ὥστε θανεῖν μέν
Πώμπτιλλαν γλυκεροῦ λύτρον ὑπὲρ γαμέτου,
ζῆν δ' ἄκοντα Φίλιππον, ἐπευχόμενον διὰ παντός
συνκεράσα(ι) ψυχῆι πνεῦμα φιλανδροτάτηι.

i. Ἔστρεψεν μοιρῶν μία νήματ[α τὰ πρὶ]ν ἄτευκτα
ταῖς ἰδίαις εὐχαῖς πάντ[α ⏑ — ⏑ μ]ένη
ἡ περίφρων Πώμπτιλλ[α], πο[λυθρύλητον ἄ]κου[σ]μ[α],
ἥτις ὑπὲρ γαμέτου [πνεῦμ' ἀ]πέλυ[σε] μόνη.

k. Ἔζ[ησ]εν β[ί]ον ἥ[δε πρὸς ἑξήκοντ' ἐνιαυτούς]
καὶ δύ' ἀνεν[κλήτως] — ◡◡ — ◡◡ —
ἡ κλειν[ὴ] Π[ώμπτιλλα ◡ — ◡◡ — ◡◡ — ◡]
ἓν μό[νον? — ◡◡ — — ◡◡ — ◡◡ —]

p. [Μηκ]έτ[ι — ◡◡ —] μηδ' Ε[ὐά]δν[ην ◡◡ | — ◡]
τή[ν ποτε σὺν Κα]π[α]νεῖ φ[λογ]μὸν [ἐσαλαμένην]
[μ]ηδ' . . . . . . ν εβ . . αχολ ο . . . ων
υμ . . . . σμ . . αμενη δ . . .
5 σιγάσθ[ω δ' Ἄ]λκη[στ]ις, ἐφ' εἶ λί(να) πρῶ[τον ἔλυσ]αν
αἱ δὶς [ἐ]π' Ἀδμ[ήτ]ωι ν[ή]μα[τα κ]λωσά[μεναι]·
τὰς πολυθρυλ[ήτο]υς ἡρ[ωίδα]ς, ἃς ὁ π[αλαιός]
[α]ἰὼ[ν] ἀθανά[τοι]ς ἐν[κατέ]γραψε χρόνοις,
νικᾶι ἐν ὀ[ψ]ιγόν[οι]σι[ν Ἀ]τιλία, ἡ [π]ρὸ Φιλίππ[ου]
10 ἀνδρὸ[ς ἀ]πισ[το]πάτ[η]ν μοῖρ[α]ν ἐπευ[ξ]αμ[ένη].

q. Πωμπ[τίλλης δ]δε νη[ό]ς, ὁδοιπόρε, [τ]ῆς ὑπὲρ ἀνδρ[ός]
[αὐτῆς?] γευ[σ]α[μ]ένης ἡδὺ τέλο[ς β]ιότο[υ].

Über Atilia Pomptillas Schicksal vgl. noch Carm. lat. epigr. a. a. O. D 3 f.—e 1—5; vgl. Ep. 166. — e 1 f. vgl. außer Ep. 166 das kyzikenische Ep. J. Hell. stud. XXII, 1902, 203,9: εἰς ἴα [κὲ] ῥόδα τὰ ὀστέα σου . . . und auch Carm. lat. epigr. I 467, 5; II 1313, 2. — 9 στ[ᾶ]σα oder στ[ῆ]σα Schmidt. — f. 4 συνκερασαε der Stein. — i. Ergänzungen von Mommsen, Schmidt. — k 1 Die Gatten nach Carm. lat. epigr. 1551 C 1 42 Jahre verheiratet, also ist P. mit etwa 62 Jahren gestorben: Kaibel. — p 1—2 ergänzt von Kaibel nach Leo (Hermes XVII, 1882, 494 f.), der 3 f. dies vorschlägt: [μ]ηδ' [ἔτι Λαοδάμ]ε[ια]ν· ἔβ[η δέ] ἀκόλο[υθος ἀπ' οἴκ]ων | [ν]υμ[φίῳ εἰς Ἀίδο]ς μ[υρ]αμένη δ[άπεδον·]; 5 Schluß von Leo (λίνα: λιυλ der Stein). — 1 [Μηκ]έτ' [ἐπαινήσῃς]? schwerlich ein Name zu ergänzen. — 5 In ähnlichem Sinne auch wohl Penelope genannt: IG. IV 491, 2; Ep. 355, 2; vgl. zum ganzen Gedanken noch bes. Carm. lat. epigr. II 1846, 17 f.

360. ROM. Tiberius' Zeit.
IG. XIV 1892 b = Kaibel 582 = CIL. VI 12652; vgl. Carm. lat. epigr. ed. Buecheler II 995.

Ἡ πολὺ Σειρήνων λιγυρωτέρη, ἡ παρὰ Βάκχωι
καὶ θοίναις αὐτῆς χρυσοτέρη Κύπριδος,
ἡ λαλίη φαιδρή τε χελειδονὶς ἔνθ' Ὁμόνοια

κεῖμαι Ἀτιμήτωι λειπομένη δάκρυα.
5 τῶι πέλον ἀσπασίη βαιῆς ἄπο· τὴν δὲ τοσαύτην
δαίμων ἀπροϊδὴς ἐσκέδασεν φιλίην.

Die Form erinnert stark an Leonidas Tar., vgl. auch Philodemos: Ep. 340, 3ff. — 3 λαλίη: vgl. Ep. 278, 3.

361. ROM. Nicht jünger als 2. Jahrhundert n. Chr.
IG. XIV 2040 = Kaibel 570.

Οὐχ ὁσίως ἥρπαξες ὑπὸ [χθόνα], κοίρανε Πλουτεῦ,
πενταέτη νύμφην πᾶσιν ἀγαλλομένην·
οἷα γὰρ ἀρχόμενον ῥόδον εὔπνοον εἴαρος ὥρῃ
ἐξέτεμες ῥείζης, πρὶν χρόνον ἐκτελέσῃ.
5 ἀλλ' ἄγ', Ἀλεξάνδρα καὶ Φίλτατε, μηκέτ' ὀδυρμοῖς
εἱμερτῇ κούρῃ σπένδετε μυρόμενοι·
εἶχεν γὰρ χάριν, εἶχεν ἐφ' ἡδυχρόοισιν προσώποις,
αἰθέρος ὥστε μένειν ἀθανάτοισι δόμοις.
τοῖς πάρος οὖν μύθοις πιστεύσατε· παῖδα γὰρ ἐσθλήν
10 ἥρπασαν ὡς τερπνὴν Ναΐδες, οὐ θάνατος.

Τινηίᾳ Ὑγείᾳ τῇ ἰδίᾳ
θρεπτῇ φιλτάτηι
μνήμης χάριν.

1 χθόνα ergänzt von Wesseling. — 3f. Das Bild wiederholt sich: Kaibel 544; BCH. XXIV, 1900, 299 V. 3f.; vgl. auch Carm. lat. epigr. ed. Buecheler II 1040, 1. — 5f. ὀδυρμοῖς . . . σπένδετε: vgl. Pind. Isthm. VI 9 (Kaibel).

362. ROM. Via Latina. 2. Jahrhundert n. Chr.
IG. XIV 1934f. = Kaibel 546b.

I. Οὐ βάτοι, οὐ τρίβολοι τὸν ἐμὸν τάφον ἀμφὶς ἔχουσιν,
οὐδ' ὀλολυγαία νυκτερὶς ἀμπέταται,
ἀλλά με πᾶν δένδρος χαρίεν περὶ ῥίσκον ἀνέρπει
κυκλόθεν, εὐκάρποις κλωσὶν ἀγαλλόμενον·
5 πωτᾶται δὲ πέριξ λιγυρὴ μινυρίστρια ἀηδών
καὶ τέττιξ γλυκεροῖς χείλεσι λειρὰ χέων
καὶ σοφὰ τραυλίζουσα χελειδονὶς ἥ τε λιγύπνους
ἀκρὶς ἀπὸ στήθους ἡδὺ χέουσα μέλος. —
Πάτρων ὅσσα βροτοῖσιν ἐράσμια, πάντ' ἐτέλεσσα,
10 ὄφρα καὶ ἰν Ἀίδῃ τερπνὸν ἔχοιμι τόπον·
τἄλλα δὲ πάντα λέλοιπα, καὶ ἐν νεότητι κατέκτην (?),
οἴχηται πλὴν ἅ<πρὶν> ζῶν ἀπεκαρπισάμην.

II. Πατὴρ Πάτρων μέν, Ἀπποληΐα δ' ἐγώ·
τεκνῶ δὲ δισσὰ τέκνα, πατέρα δ' εὖ λέγω.

1—8: vgl. Ep. 166. Hier herrscht wirkliche Kunst, dagegen 9—12 begegnen Fehler oder späte Formen (10 ἰν; 11 κατέκτην; 12 οἴχηται; πρίν), eigentümliche Syntax (11 καί): also 1—8 Kopie eines guten allgemeinen (vgl. auch 4 ἀγαλλόμενον mit Ep. 361, 2) Musters, der Rest selbständig. — 5 ∽ Carm. lat. epigr. ed. Buecheler I 467, 9.

363. Straße von NEAPEL nach NOLA. 1. Jahrhundert n. Chr.

IG. XIV 793 = Kaibel 560.

a. Στάς, ξένε, τάνδ' ἄθρησον ἐπὶ στά(λλ)αι Κλεοπάτραν,
ἂν φθόνος εἰς Ἀίδαν, οὐ χρόνος ἠγάγετο,
μορφᾶς ἄι πρωτεῖον ἔχειν δωρήσατο Κύπρις,
ἔργα δ' Ἀθαναία τερπνὰ σαοφροσύνας,
5 Μοῦσα δὲ καὶ σοφίαν καὶ πακτίδα τὰν φιλέραστον,
συμφωνίαν ἐρατοῖς μειξαμένα μέλεσιν·
καὶ γνούς, ὡς θνατοῖ(ς) οὐδὲν γλυκερώτερον αὐγᾶς,
ζῆθι κάλ(ω)ν τείνας οὔριον εὐφροσυνᾶν.

b. Εἰ καὶ σου κεύθει κάλλος νέον, ὦ Κλεοπάτρα,
10 τύμβος καὶ φροῦδον σῶμα λέλογχε κόνις,
ἀλλ' ἀρετὰ βιοτᾶς αἰὲν ζωοῖσι μέτεστι,
ψυχᾶς μανύουσ' εὐκλέα σωφροσύνην.

1 σταμαι, 7 θανατοιο, 8 καλον Fehler des Steinmetzen, verb. von Reines. — 1 vgl. Ep. 374, 2. — 7f. Zu dieser Lehre vgl. Ep. 346, 5f.

364. ANTIUM. Unter dem Ep. ein Skelett abgebildet. 2.—3. Jahrhundert n. Chr.

IG. XIV 2131 = Kaibel 711.

Εἰπεῖν τίς δύναται σκῆνος λιπόσαρκον ἀθρήσας,
εἴπερ Ὕλας ἢ Θερσείτης ἦν, ὦ παροδεῖτα.

Vgl. Lukian. Dial. mort. 25; Necyom. 15.

365. KOS. Ca. 1. Jahrhundert n. Chr.

Ancient greek inscriptions in the Brit. Museum IV 1, DCCCCXV. = Kaibel 202.

Μελανθίου τοῦ Δημητρίου τοῦ
Μελανθίου ἰατροῦ τὸ μνῆμα.

Εὕδεις, ὦ φιλότεκνε Μελάνθιε, καὶ βαθὺν ὕπνον

εὕδεις, ἰατρῶν ὦ πολυπειρότατε·
ἀλλ' Ἀίδας ζωοῖσιν ἐναντίος, ὅς τὸν ἀρωγὸν
νούσων εἰς μερόπων οὐκ ἐφύλαξεν ἄκη.

5 Εἰς ἑαυτόν.

Τὸν τέχνηι λάμψαντα Μελάνθιον ἰητῆρα
χθώ[ν] ἥδε κρύπτει πρέσβυν ἀλυπότατον.

6 τέχνηι λάμψαντα: vergl. A. Wilhelm Beiträge zur griech. Inschriftenkunde 161. — 7 So die Lesung in Anc. gr. inscr., falsch bei Kaibel.

366. KYRENE. Ca. 2. Jahrhundert n. Chr.
Kaibel 418.
Κ(αταχθονίοις) θ(εοῖς). Τι. Πετρώνιος Καπίτων ἐτῶν κ̄.

Βαιόν σοι τὸ μεταξὺ βίου θανάτοιό τ' ἔθηκε
καὶ τύμβου, Καπίτων, καὶ θαλάμοιο Τύχη,
νύκτα μίαν ψεῦστιν καὶ ἀνηλέα, τὴν ἄνις αὐλῶν,
τὴν δίχα σοι παστῶν, τὴν ἄτερ εἰλαπίνης·
5 αἰαῖ τὴν ἐπὶ πέπλα καὶ εἰς ἀμύριστα πεσοῦσα[ν]
στέμματα καὶ βίβλου(ς) σεῖο, πρόμοιρε, (τέ)φρην·
οἳ θρήνοισι βοητὸν ὑμήναον, οἳ προκελεύθους
λαμπάδας, ὑστατίου καὶ κενεοῖ[ο] λέχους.

3 ἄνις: vgl. A. Thumb: Handbuch der griech. Dialekte 119; 152. — 6 προμοιρεφρην der Stein, verb. von Welcker. — 7 vgl. Ep. 168a, 5f. — 8 κενεοις der Stein, verb. von Welcker. — λέχους: der Scheiterhaufen (Kaibel).

II. 3. bis 5. Jahrhundert n. Chr. (Nr. 367—400).

A. Ehreninschriften (Nr. 367—370); vgl. zu Nr. 123ff.

367. ATHEN. Nach 269 n. Chr.
IG. III 1, 716 = Kaibel 878 = Nachmanson: Histor. att. Inschr. 85. — Nach prosaischer Inschrift auf Dexippos:

Ἀλκῇ καὶ μύθοισι καὶ ἐν βουλαῖσι κρατίστους
ἄνδρας ἀγακλειτοὺς γείνατο Κεκροπίη,
ὧν ἕνα καὶ Δέξιππον, ὃς ἱστορίην ἐσαθρήσας
αἰῶνος δολιχὴν ἀτρεκέως ἔφρασεν·
5 καὶ τὰ μὲν αὐτὸς ἐπεῖδε, τὰ δ' ἐκ βίβλων ἀναλέξας
εὕρατο παντοίην ἱστορίης ἀτραπόν.
ἦ μέγα κλεινὸς ἀνήρ, ὃς νοῦ ἄπο μυρίον ὄμμα
ἐκτείνας χρονίους πρήξιας ἐξέμαθεν.
φήμη μὲν περίβωτος ἀν' Ἑλλάδα, τὴν ὁ νεανθὴς

10 αἶνος Δεξίππῳ δῶκεν ἐφ' ἱστορίῃ.
τοὔνεκα δὲ καὶ παῖδες ἀγακλειτὸν γενετῆρα
μορφήεντα λίθου θῆκαν ἀμειβόμενοι.

Über Dexippos vgl. E. Schwartz: RE. V 288ff.; s. auch Nachmanson a. a. O. — Deutlich der Stil der Übergangszeit: 7f. übel geformt; unmetrisch und syntaktisch schlecht V. 11 δὲ (δὴ die Herausgeber außer Nachmanson); künstlich 12; Armut der Sprache (2 ἀγακλειτοὺς: vgl. 11). — 5 scheint Stil: vgl. Ep. 199, 3f.

368. OLYMPIA. Frühestens 3. Jahrhundert n. Chr., vielleicht später.

Inschr. v. Olympia 481.

Τόνδ' ἐτεὸν Φιαλῆες ἐϋρ(ρ)έκτην Πολύχαρμον
στήσαμεν ἕρμα δίκης Ζηνὶ παρ' ἰθυδίκωι.
ᾔνησαν δ' Ἕλληνες· ἐν αἰσιμίηι γὰρ ἄνυσσεν
ἀρχήν, παντοίης ἴδρις ἐὼν ἀρετῆς.

Die Inschrift, die Apostroph (1—3: vgl. Larfeld: Griech. Epigraphik[3] 302 und besonders A. Wilhelm: Beiträge zur griech. Inschriftenkunde 161) und Trema zeigt (s. auch Ep. 372), von Dittenberger mit Gedichten zu Ehren römischer Provinzialbeamten der späteren Kaiserzeit (IG. III 1, 636—40 u. a.; vgl. bes. IG. III 1, 776,2: ἕρμα σαοφροσύνης) verglichen. — 1 ἐϋρ(ρ)έκτην: ἅπ. εἰρ.

369. GORTYN. Vor Constantin.

Kaibel 905.

Ἑσπερίης πάσης χθονὸς ὄβριμον ἰθυντῆρα
Μαρκελλῖνον ἄθρει, θαρραλέ[ο]ν ταμίην,
Ἑλλάδος ἀγλαὸν ἔρνος, ὃς εὐδικίῃ καὶ ἀρωγῇ
κουφίζων πόλιας θῆκεν ἐλαφροτέρας·
5 τοὔνεκα καὶ προθύροισι Δίκης ἐπιμάρτυρα θεσμῶν
βουλῆς καὶ Πύρρου στῆσεν ἐφημοσύνη.

Wiederherstellung wesentlich durch Kaibel, der Marcellinus erst Quaestor von Kreta (2), dann Corrector von Italien (1) sein läßt. — 3 εὐδικίη öfters angepriesen: Kaibel 875, 7; IG. III 1, 1171, 1. — 4 Tautologie.

370. NISAIA. Ca. 4. Jahrhundert n. Chr.

IG. VII 94f. = Kaibel 909.

94. Ἐκ γενεῆς περίβωτον ἀπ' ἀνθυπάτων κ(αὶ) ὑπάρχ[ων]
Πλούταρχον, καθαρῇσιν ἀοίδιμον εὐνομίῃσιν,
προφρονέως Μεγαρῆες ἀειμνήστοις ἐπὶ ἔργοις
εἰκόνι λαϊνέῃ στῆσαν ἀγασσάμενοι.

95. 5 Πάντη Πλουτάρχοιο κλέος, πάντη δέ τε θαῦ[μα],
πάντη δ' εὐνομίης εὖχος ἀπειρέσιον,
υἱέος Εὐαγρίοιο, τὸν Ἀλκαθόου ναετῆρ[ες]
πολλῶν ἀντ' ἀγαθῶν ἀμφὶ Δίκης τεμ[ένει].

8 Es fehlt ἔστησαν (Kaibel): also sehr ungeschickte Form.

B. Grabinschriften (Nr. 371—374).

371. ANTINOE. Wahrscheinlich Anfang des 3. Jahrhunderts n. Chr.

Aegyptiaca. Festschrift für G. Ebers. 1897. S. 99ff. (C. Schmidt).

Πάλλαντος εἴ τιν' οἶσθας ἄνδρ' ἐπώνυμον
δεκάδαρχον ἔργων Ἀντινόοιο προστάτην
τούτωι με δαίμων οἰκέτην κατήγαγεν
Αἰθιοπίδος γῆς, ἔνθ' ἐμοὶ φυτοσπόροι
5 χροιὴν μὲν ἐν ζωοῖσιν ἦν μελάντερος,
οἷον βολαὶ ποιοῦσιν ἡλιώτιδες,
ψυχὴ δὲ λευκοῖς ἄνθεσιν βρύουσ' ἀεί
εὔνοιαν εἷλκε δεσπότου σαόφρονος
— ψυχῆς γὰρ ἐσθλῆς κάλλος ἐστὶ δεύτερον —
10 μορφήν τ(έ) μοι μέλαιναν εὖ κατέστεφεν.
οἷος μετ' Ἰνδοὺς ἦλθε μαινόλης θεός
βωμοῖς ἀνήσων αἰνὰ φῦλα βαρβάρων,
τοιοῦτος ἦν πάροιθεν ἡλιούμενος·
νῦν αὖτε τύμβωι πάντ' ἀποκρύψας ἔχω,
15 θυμόν τε μορφήν θ' ἥ με τὸ πρὶν ἄμπεχεν,
λοιπὸν δὲ πάντων οὔνομ' ἐστί μοι μόνον·
Ἐπιτυγχάνοντα γάρ με γινώσκοιο, ξένε,
πάντων τυχόντα τῶν βροτοῖσιν ἡδέων·
τούτων δ' ἀμοιβὴν δεσπότηι δοίη θεός
20 βίου τε μακρειν οἶμον εὔκλειάν θ' ὁμοῦ.

Das im allgemeinen sorgfältig geschriebene (vgl. nur V. 10) Ep. enthält V. 17 einen prosodischen Fehler (γῑνώσκοιο) und verdient auch sonst C. Schmidts Lob nicht: 11—13 der Vergleich ungeschickt ausgedrückt. — 10 τ(έ) Geffcken, το ohne Beziehung der Stein. — 16f. der Name erscheint absichtlich wieder spät: vgl. Ep. 130, 5. — 20 μακρειν: itacistische Entgleisung für μακρὴν.

372. ATHEN. 3. oder 4. Jahrhundert n. Chr.

IG. III 2, 1374 = Kaibel 146.

Πλουτάρχου τόδε σῆμα σαόφρονος, ὃς πολυμόχθου

κύδεος ἱμείρων ἤλυθεν Αὐσονίην,
ἔνθα πόνοισι πόνους ἀνεμέτρεε, τηλόθι πάτρης,
μουνογενής περ ἐὼν καὶ πατέρεσσι φίλος·
5 ἀλλ' ἐὸν οὐκ ἐτέλεσσε πόθον μάλα περ μενεαίνων·
πρόσθε γὰρ ἀστόργου μοῖρα κίχεν θανάτου.

Verwendung von Trema, Apostroph, Spiritus asper: vgl. Ep. 368. — 4 πατέρεσσι: Form spätester Epik.; vgl. Kühner-Blass: Grammat. d. griech. Sprache I 1, 428.

373. PRAENESTE. Ca. 3. Jahrhundert n. Chr.
IG. XIV 1601 = Kaibel 657.

Θ(εοῖς) Κ(αταχθονίοις).
Πατρίδος ἐκ Ζμύρνης βροτοί μ' Εὐθαλέα καλέεσκον
εἵνεκ' ἐμῆς ὥρης καὶ μεγέθους ἐρατοῦ·
ἀλλά με μοῖρ' ὀλοή, πρὶν ἰούλοις πλῆσαι παρειάς,
ἥρπασε πὰρ φιλίων, οὓς τροφέας ἐκάλουν.

Barbarische Metrik.

374. HALAI. Sehr spät.
IG. IX 1, 256; verb.: BCH. XXVI, 1901, 332 (Laurent).

Κ̣ωφῆς ἐκ πέτρης λόγον ἔμπνουν δέξαι, ὁδῖτα̣,
βαιὸν ἐπιστήσας ἴχνος ὁδοιπορίης·
ἐνθάδ' ἐγὼ κεῖμαι Τελέους υἱὸς Θεόπειστος,
εἰκοσιεπτὰ ἐτῶν εἰς Ἀίδην καταβάς,
5 πᾶσιν ἀνέγκλητος γεγονώς· ἔθανον δὲ πρὸ ὥρα[ς]
οὐχὶ πονηρὸς ἐών, ἀκρισίᾳ δὲ τύχης·
„δύστηνος", φ[ήσε]ι τις· ἐγὼ δ' ὑποβὰς τόδ' ἂν εἶπον·
οὐ πάντως· τάχ' ἴσως δ' εὐτυχίας μετέχων·
εἰ γὰρ τῇ μακρᾷ ζωῇ λῦπαι παρέπονται,
10 [χρ]ὴ δὲ ὅμως ταύτας ἐκτελέσαντα θανεῖν,
[κεῖν]ο̣ς ἂν εὐδαίμων εἴη μᾶλλον παρὰ πάντας
[ὁ στ]υγεροῦ γήρως οὐκ ἐσιδὼν βίοτον.

Ungeschickte Fassung des Gedankens (9 f.), schwerfälliger Versuch, die ἀνθυποφορά zu verwenden (7, vgl. auch Ep. 125, 4). — 2 βαιὸν ἐπιστ. ἴχν. = IG. XIV 2126, 1; (1537, 1); Denkschr. d. Wien. Akad. LIII, 1910, S. 35; IG. XII 3, 220, 2; vgl. Ep. 363, 1 u. ö.

C. Literarische Epigramme des 1.—4. Jahrhunderts n. Chr. (Nr. 375—395).

1. Antiphilos von Byzanz (Nr. 375—376).

375. A.P. VII 634: Ἀντιφίλου Βυζαντίου C, Ἀντιφίλου Plan.
Νεκροδόχον κλιντῆρα Φίλων ὁ πρέσβυς ἀείρων

ἐγκλιδόν, ὄφρα λάβοι μισθὸν ἐφημέριον,
σφάλματος ἐξ ὀλίγοιο πεσὼν θάνεν· ἦν γὰρ ἕτοιμος
εἰς Ἀΐδην, ἐκάλει δ' ἡ πολιὴ πρόφασιν.
5 τὸν δ' ἄλλοις ἐφόρει νεκυοστόλον, αὐτὸς ἐπ' αὐτῶι
ἀσκάντην ὁ γέρων ἀχθοφορῶν ἔλαθεν.

Echte Epideiktik; solche bedeutsamen Zufälle öfters von Antiphilos (IX 14; 34) erzählt, namentlich Buch IX der A.P. der Fundort für diese poetische Spielerei. — 2 ἐγκλιδόν Hecker, ἔνδον P, ἔνδοθεν Plan. — 4 πρόφασις P. Zu πρόφασιν vgl. Antipater Thess. IX 309, 4; Tryphon 488, 4: Stadtmüller. — 5 ὃν δ' Plan.

376. A.P. XI 66: Ἀντιφίλου Βυζαντίου B.

Κἢν τείνῃς ῥακόεντα πολυτμήτοιο παρειῆς
χρῶτα καὶ ἀβλεφάρους ὦπας ἐπανθρακίσῃς
καὶ λευκὴν βάψῃς μέλανι τρίχα καὶ πυρίφλεκτα
βοστρύχια κροτάφοις οὖλα περικρεμάσῃς,
5 οὐδὲν ταῦτα, γελοῖα, καὶ ἢν ἔτι πλείονα ῥέξῃς,
— — — — — — — — — — — — — — — —

Vgl. Lukillios XI 68; Lukian. 408 u. a. Martial. IX 37 (E. Pertsch: De Valerio Martiale graecorum poetar. imitatore. Berlin. 1911. p. 17f.). — 2 ἐπάνθρακιῆι P, verb. von Meineke. — 3 βάψεις P. — 5 ηνίτι πλεῖον ῥ. P, verb. von Jacobs. — 6 ausgefallen.

2. Antiphanes.

377. A.P. XI 322. Ἀντιφάνους B, Plan.

Γραμματικῶν περίεργα γένη, ῥιζωρύχα μούσης
ἀλλοτρίης, ἀτυχεῖς σῆτες ἀκανθοβάται,
τῶν μεγάλων κηλῖδες, ἐπ' Ἠρίννῃ δὲ κομῶντες,
πικροὶ καὶ ξηροὶ Καλλιμάχου πρόκυνες,
5 ποιητῶν λῶβαι, παισὶ σκότος ἀρχομένοισιν,
ἔρροιτ', εὐφώνων λαθροδάκναι κόριες.

∽ Philippos XI 321; 347; Lukillios 140; 142.; Kerealios 144. — 1 ῥιζώνυχα P. — 5 Nach ποιητῶν Lücke von 8 Buchstaben, dann βαιποσὶ P, ergänzt von Plan. — 6 εὐφώνων: wohl die Musen, die öfters εὔφ. heißen: Pindar. Isthm. I 64f.; Philoxenos fr. 7; Leonidas: A.P. VII 35, 2.

3. Parmenion.

378. A.P. IX 342: Παρμενίωνος Μακεδόνος C, Παρμενίωνος Plan.

Φημὶ πολυστιχίην ἐπιγράμματος οὐ κατὰ Μούσας
εἶναι · μὴ ζητεῖτ' ἐν σταδίωι δόλιχον ·
πόλλ' ἀνακυκλοῦται δολιχὸς δρόμος, ἐν σταδίωι δέ
ὀξὺς ἐλαυνόμενος πνεύματός ἐστι *τόνος*.

∾ Leonidas Alex. A. P. VI 327; Kyrillos IX 369; vgl. auch Philipp. IV 2, 6. — 1 φαμι P. — 2 Zum Bilde vgl. Martial. II 86, 7. — δολιχόν P, Plan., verb. von Dübner. — 3 δολιχοῦ Plan. — 4 ἐστι τόνος P, Plan. unverständlich; Versuche zu emendieren, z. B. (πνεύματος) εἷς τε τόνος u. a.; ἐστιν ἑνός Geffcken.

4. Philippos von Thessalonike (Nr. 379—380).

379. A.P. IX 561: Φιλίππου P, Plan.

Τίς σε πάγος δυσέρημος, ἀνήλιος ἐξέθρεψεν
Βορραίου Σκυθίης, ἄμπελον ἀγριάδα,
ἢ Κελτῶν νιφοβλῆτες ἀεὶ κρυμώδεες Ἄλπεις;
τῆς τε σιδηροτόκου βῶλος Ἰβηριάδος;
5 ἢ τοὺς ὀμφακόραγας ἐγείναο, τοὺς ἀπεπάντους
βότρυας, οἳ στυφελὴν ἐξέχεον σταγόνα.
δίζημαι, Λυκόεργε, τεὰς χέρας, ὡς ἀπὸ ῥίζης
κλήματος ὠμοτόκου βλαστὸν ὅλον θερίσηις.

Nachahmer: Kaiser Julian: A. P. IX 368; vgl. ἀδ. 375. — 2 ἢ βορέου Plan. — 4 τῆστε (τῆς τε) P, Plan., τίς σε Stadtmüller, ἤ σε Geffcken. — 5 ὀμφοκόραγας (ω über α) P, ὀμφακοραγας Plan., verb. von Jacobs (Lobeck). — ἐγείνατο P. — 8 θερίσεις (ηι über ει) P, θερίσης Plan.

380. Plan. 81: Φιλίππου.

Ἢ θεὸς ἦλθ' ἐπὶ γῆν ἐξ οὐρανοῦ εἰκόνα δείξων,
Φειδία, ἢ σύ γ' ἔβης τὸν θεὸν ὀψόμενος.

5. Lukillios (Nr. 381—383).

381. A.P. XI 81: τοῦ αὐτοῦ <Λουκιλλίου> B[2], ohne Lemma Plan.

Πᾶσαν ὅσαν Ἕλληνες ἀγωνοθετοῦσιν ἅμιλλαν
πυγμῆς, Ἀνδρόλεως πᾶσαν ἀγωνισάμαν ·
ἔσχον δ' ἐν Πίσηι μὲν ἓν ὠτίον, ἐν δὲ Πλαταιαῖς
ἓν βλέφαρον · Πυθοῖ δ' ἄπνοος ἐκφέρομαι ·
5 Δαμοτέλης δ' ὁ πατὴρ καρύσσετο σὺν πολιήταις
ἆραί με σταδίων ἢ νεκρὸν ἢ κολοβόν.

Spott auf die agonistischen Epp.: vgl. Ep. 114. — 1 ὅσην Plan. — 2 ἀγωνισάμην Plan. — 4 ἐκφερόμαν Geffcken. — 5 ἐκορύσσετο Plan. — 6 μ' ἐκ σταδίων Plan.

382. A.P. XI 141: Λουκιλλ[ί]ου B, Λουκιλλίου Plan.

Χοιρίδιον καὶ βοῦν ἀπολώλεκα καὶ μίαν αἶγα,
ὧν χάριν εἴληφας μισθάριον, Μενέκλεις·
οὔτε δέ μοι κοινόν τι πρὸς Ὀθρυάδαν γεγένηται,
οὔτ' ἀπάγω κλέπτας τοὺς ἀπὸ Θερμοπυλῶν·
5 ἀλλὰ πρὸς Εὐτυχίδην ἔχομεν κρίσιν· ὥστε τί ποιεῖ
ἐνθάδε μοι Ξέρξης καὶ Λακεδαιμόνιοι;
πλὴν κἀμοῦ μνήσθητι νόμου χάριν, ἢ μέγα κράξω·
„ἄλλα λέγει Μενεκλῆς, ἄλλα τὸ χοιρίδιον".

Zum Thema vgl. Lukian. Rhet. praec. 18; auch Martial. VI 35 (vgl. E. Pertsch: De Valerio Martiale graecorum poetarum imitatore. Berlin. 1911. p. 26). — 7 νόμου χάριν: vgl. denselben Lukillios XI 206, 2.

383. A.P. XI 312: τοῦ αὐτοῦ <Λουκιλλίου> B, Plan.

Οὐδενὸς ἐνθάδε νῦν τεθνηκότος, ὦ παροδῖτα,
Μάρκος ὁ ποιητὴς ᾠκοδόμηκε τάφον,
καὶ γράψας ἐπίγραμμα μονόστιχον ὧδ' ἐχάραξε·
„Κλαύσατε δωδεκέτη Μάξιμον ἐξ Ἐφέσου."
5 οὐδὲ γὰρ εἶδον ἐγώ τινα Μάξιμον· εἰς δ' ἐπίδειξιν
ποιητοῦ κλαίειν τοῖς παριοῦσι λέγω.

Spott auf die epideiktischen Grabschriften; vgl. denselben Lukillios auf solche Weihepigramme: XI 194 (VI 164) und Ep. 381.

6. Lukianos (Nr. 384—385).

384. A.P. VI 17: Λουκιανοῦ A.

Αἱ τρισσαί τοι ταῦτα τὰ παίγνια θῆκαν ἑταῖραι,
Κύπρι μάκαιρ', ἄλλης ἄλλη ἀπ' ἐργασίης.
ὧν ἀπὸ μὲν πυγῆς Εὐφρὼ τάδε· ταῦτα δὲ Κλειώ,
ὡς θέμις· ἡ τριτάτη δ' Ἀτθὶς ἀπ' οὐρανίων.
5 ἀνθ' ὧν τῆι μὲν πέμπε τὰ παιδικά, δεσπότι, κέρδη,
τῆι δὲ τὰ θηλείης, τῆι δὲ τὰ μηδετέρης.

Von Einigen, vielleicht mit Recht, dem Lukillios zugeschrieben. — Parodie auf Leonidas: Ep. 296. — 6 μὴ δ' ἑτέρης P.

385. A.P. XI 410: Λουκιανοῦ B, ohne Lemma Plan.

Τοῦ πωγωνοφόρου Κυνικοῦ, τοῦ βακτροπροσαίτου
εἴδομεν ἐν δείπνωι τὴν μεγάλην σοφίαν·

θέρμων μὲν γὰρ πρῶτον ἀπέσχετο καὶ ῥαφανίδων,
μὴ δεῖν δουλεύειν γαστρὶ λέγων ἀρετήν.
5 εὖτε δ' ἐν ὀφθαλμοῖσιν ἴδεν χιονώδεα βόλβαν
στρυφνήν, ἢ *πινυτὸν* ἤδη ἔκλεπτε νόον,
ᾔτησεν παρὰ προσδοκίαν καὶ ἔτρωγεν ἀληθῶς
κοὐδὲν ἔφη βόλβαν τὴν ἀρετὴν ἀδικεῖν.

Über inkonsequente Kyniker vgl. Leonidas Tar.: Ep. 297 und bes. Lukians Symposion. — 1 βακτρουπροσαίτου P. — 2 σοφίην Plan. — 5 und 8 βολβὸν Plan. — 6 ἢ fehlt in P, Plan., ergänzt von Hermann. — πινυτὸν ἤδη Plan., π. ἤδη P, πινυτὸν δή οἱ Hermann, πινυτῶν ἤδη Geffcken.

7. Palladas (Nr. 386—388).

Vgl. A. Franke: De Pallada epigrammatographo. Leipzig. 1899.

386. A.P. IX 165: Παλλαδᾶ 'Αλεξανδρέως C, Παλλαδᾶ Plan.

'Οργὴ τοῦ Διός ἐστι γυνὴ πυρὸς ἀντιδοθεῖσα,
δῶρον ἀνιηρὸν τοῦ πυρὸς ἀντίδοτον·
ἄνδρα γὰρ ἐκκαίει ταῖς φροντίσιν ἠδὲ μαραίνει
καὶ γῆρας προπετὲς τῆι νεότητι φέρει.
5 οὐδ' ὁ Ζεὺς ἀμέριμνος ἔχει χρυσόθρονον Ἥρην,
πολλάκι γοῦν αὐτὴν ῥῖψεν ἀπ' ἀθανάτων
ἠέρι καὶ νεφέλῃσι μετήορον· οἶδεν Ὅμηρος
καὶ Δία συγγράψας τῆι γαμετῆι χόλιον.
οὕτως οὐδέποτ' ἐστὶ γυνὴ σύμφωνος ἀκοίτηι,
10 οὐδὲ καὶ ἐν χρυσέωι μιγνυμένη δαπέδωι.

Vgl. Palladas IX 167; Franke a. a. O. 44f. — 1 Anf. vgl. Pallad. XI 381, 1 (Dübner). — 3f. vgl. Hesiod. Op. 705. — 3 ἠὲ P. — 6 Flüchtige Erinnerung an Homer O 18ff., daher schreibt Jacobs ἧψεν. — 10 χρυσέωι . . . δαπέδωι = Homer Δ 2 (Dübner).

387. A.P. IX 175: τοῦ αὐτοῦ <Παλλαδᾶ> C, Plan. (Παλλαδᾶ αιγυπτιου P[2]: vgl. den Kommentar).

Καλλίμαχον πωλῶ καὶ Πίνδαρον ἠδὲ καὶ αὐτάς
πτώσεις γραμματικῆς πτῶσιν ἔχων πενίης.
Δωρόθεος γὰρ ἐμὴν τροφίμην σύνταξιν ἔλυσε
πρεσβείην κατ' ἐμοῦ τὴν ἀσεβῆ τελέσας.
5 ἀλλὰ σύ μου πρόστηθι, Θέων φίλε, μηδέ μ' ἐάσῃς
συνδέσμωι πενίης τὸν βίον ἐξανύσαι.

Vgl. Palladas IX 171; Franke a. a. O. 44. — 1f. zweimal überliefert: 1. an dieser Stelle mit Auslassung von 3—6; 2. mit 3—6

nach IX 481. — 2 πτώσεις: vgl. Pallad. IX 182, 4; 173, 8. — 3f. Dorotheos und seine πρεσβεία unbekannt, auch kaum zu erraten; es handelt sich wohl (vgl. auch 5) um das Vorgehen christlicher Behörden gegen den heidnischen Lehrer. — 3 σύνταξιν: vgl. XI 171, 4. — 4 ἀσεβῆ: Ausdruck der Heiden für christliches Wesen. — 5 σύ μοι P², verb. von Plan. — θεῶι φίλε P², θῶ φίλε Plan., verb. von Meineke.

388. A.P. X 84: τοῦ αὐτοῦ <Παλλαδᾶ> B, Plan.

Δακρυχέων γενόμην καὶ δακρύσας ἀποθνήσκω·
  δάκρυσι δ' ἐν πολλοῖς τὸν βίον εὗρον ὅλον.
ὯΩ γένος ἀνθρώπων πολυδάκρυτον, ἀσθενές, οἰκτρόν,
  φερόμενον κατὰ γῆς καὶ διαλυόμενον.

1 Vgl. [Platon.:] Axioch. p. 366d; Plinius: n. h. VII 2; Seneca: ad Marc. 11, 4. — 4 φερόμενον P, συρόμενον Plan., φαινόμενον Boissonade, φερβόμενον Stadtmüller; doch vgl. auch XI 295, 2: κισσὸν ἀφελών; X 44, 4 οὐκ ἐθέλω Δόμινε: vgl. Franke a. a. O. 99f.

8. Agathias (Nr. 389—392).

Vgl. R. Reitzenstein: RE. I 1, 743ff.

389. A.P. V 215: Ἀγαθίου σχολαστικοῦ A, Ἀγαθίου Plan.

Εἰ φιλέεις, μὴ πάμπαν ὑποκλασθέντα χαλάσσῃς
  θυμὸν ὀλισθηρῆς ἔμπλεον ἱκεσίης,
ἀλλά τι καὶ φρονέοις στεγανώτερον, ὅσσον ἐρύσσαι
  ὀφρύας, ὅσσον ἰδεῖν βλέμματι φειδομένωι.
5 ἔργον γάρ τι γυναιξὶν ὑπερφιάλους ἀθερίζειν
  καὶ κατακαγχάζειν τῶν ἄγαν οἰκτροτάτων.
κεῖνος δ' ἐστὶν ἄριστος ἐρωτικός, ὃς τάδε μίξει
  οἶκτον ἔχων ὀλίγηι ξυνὸν ἀγηνορίηι.

2 ἔμπλεος Boissonade. — 3 ... στεγανώτερον Suid. s. v. στεγανώτερον.

390. A.P. V 221: Ἀγαθίου C, Ἀ. σχολαστικοῦ Plan.

Εἴ ποτε μὲν κιθάρης ἐπαφήσατο πλῆκτρον ἑλοῦσα
  κούρη, Τερψιχόρης ἀντέμελιζε μίτοις·
εἴ ποτε δὲ τραγικῶι ῥοιζήματι ῥήξατο φωνήν,
  αὐτῆς Μελπομένης βόμβον ἀπεπλάσατο.
5 εἰ δὲ καὶ ἀγλαΐης κρίσις ἵστατο, μᾶλλον ἂν αὐτή
  Κύπρις ἐνικήθη, κἀνεδίκαζε Πάρις.
σιγῆι ἐφ' ἡμείων, ἵνα μὴ Διόνυσος ἀκούσας
  τῶν Ἀριαδνείων ζῆλον ἔχοι λεχέων.

1 ἐλοῦσα C, ἔχουσα A vor Rasur, Plan. — 5 αὐτὴ C, αὐτῆι A vor Rasur, Plan. — 6 κ' ἂν ἐδίκαζε P, κἂν ἐδίκαζε Plan., verb. von Erfurdt. — 7 Anf. vgl. Homer H 195. — σιγῆι A vor Rasur, Plan., σιγὴ C.

391. A.P. V 296: τοῦ αὐτοῦ <'Αγαθίου> A, 'Αγαθίου σχολαστικοῦ Plan.

'Ηϊθέοις οὐκ ἔστι τόσος πόνος, ὁππόσος ἡμῖν
ταῖς ἀταλοψύχοις ἔχραε θηλυτέραις.
τοῖς μὲν γὰρ παρέασιν ὁμήλικες, οἷς τὰ μερίμνης
ἄλγεα μυθεῦνται φθέγματι θαρσαλέωι,
5 παίγνιά τ' ἀμφιέπουσι παρήγορα καὶ κατ' ἀγυιάς
πλάζονται *γραφίδων χρώμασι* ῥεμβόμενοι·
ἡμῖν δ' οὐδὲ φάος λεύσσειν θέμις, ἀλλὰ μελάθροις
κρυπτόμεθα ζοφεραῖς φροντίσι τηκόμεναι.

1 f. Suid. s. v. ἀταλῆισιν; 1—2 ἀταλοψύχοις Suid. s. v. ἠίθεος. — 5—6 πλάζονται Suid. s.v. παρηγορίας. — 6 in P, Plan. verderbt: θάλπονται (θέλγονται Polak) γρ. χρ. ῥ. vermutet Stadtmüller, πλάζονται γρ. χρ. τερπόμενοι Herwerden; der Fehler liegt wohl in γραφίδων χρώμασι, da „Farben der Pinsel" doch nicht einfach Gemälde bedeuten können, und die Erklärung, daß sie zum Trost auf diesen Gemälden ihre Augen herumschweifen lassen (Jacobs), unmöglich ist. Also vielleicht (vgl. Agathias V 288, 6 κρυφίοις ὄμμασι ῥεμβομένην; Plutarch. de rect. rat. aud. 45d βλέμμα ῥεμβῶδες): κρυφίοις ὄμμασι, d. h.: sie suchen heimlich nach neuen Liebschaften.

392. A.P. VII 593: τοῦ αὐτοῦ 'Αγαθίου σχολαστικοῦ C, 'Αγαθίου Plan.

Τὰν πάρος ἀνθήσσαν ἐν ἀγλαΐαι καὶ ἀοιδᾶι,
τὰν πολυκυδίστου μνάμονα θεσμοσύνας,
Εὐγενίαν κρύπτει χθονία κόνις· αἳ δ' ἐπὶ τύμβωι
κείραντο πλοκάμους Μοῦσα, Θέμις, Παφίη.

3 χθονίη Plan. — 3 αἳ . . . 4 = Kaibel 512, also kopiert Agathias sklavisch ein Muster (vgl. das ähnliche Vorgehen des Gaitulikos: Ep. 151).

9. Paulos Silentiarios (Nr. 393—395).

393. A.P. V 225: Παύλου Σιλεντιαρίου A, τοῦ αὐτοῦ <Παύλου> Plan.

'Οφθαλμοί, τέο μέχρις ἀφύσσετε νέκταρ 'Ερώτων
κάλλεος ἀκρήτου ζωροπόται θρασέες;

τῆλε διαθρέξωμεν ὅπηι σθένος· ἐν δὲ γαλήνηι
νηφάλια σπείσω Κύπριδι Μειλιχίηι.
5 εἰ δ' ἄρα που καὶ κεῖθι κατάσχετος ἔσσομαι οἴστρωι,
γίνεσθε κρυεροῖς δάκρυσι μυδαλέοι,
ἔνδικον ὀτλήσοντες ἀεὶ πόνον· ἐξ ὑμέων γάρ,
φεῦ, πυρὸς ἐς τόσσην ἤλθομεν ἐργασίην.

Ausführung eines älteren hellenistischen Musters, das zu gewinnen ist aus Carm. lat. epigr. ed. Buecheler II 934 (vgl. Valer. Aedituus: Gell. XIX 9, 12): vgl. Buecheler: Rh. Mus. XXXVIII, 1883, 475. — 3 διαθρέξωμεν vereinzelt in dieser Bedeutung. — ὅπηι C, ὅπη A, ὅποι Plan. — 7 f. Suid. s. v. ὀτλήσοντες.

394. A.P. V 274: τοῦ αὐτοῦ <Παύλου Σιλεντιαρίου> A, Παύλου Plan. App. Barb.-Vaticana.

Δειελινῶι χαρίεσσα Μενεκρατὶς ἔκχυτος ὕπνωι
κεῖτο περὶ κροτάφους πῆχυν ἑλιξαμένη.
τολμήσας δ' ἐπέβην λεχέων ὕπερ· ὡς δὲ κελεύθου
ἥμισυ κυπριδίης ἤνυον ἀσπασίως,
5 ἡ παῖς ἐξ ὕπνοιο διέγρετο, χερσὶ δὲ λευκαῖς
κράατος ἡμετέρου πᾶσαν ἔτιλλε κόμην·
μαρναμένης δὲ τὸ λοιπὸν ἀνύσσαμεν ἔργον ἔρωτος·
ἡ δ' ὑποπιμπλαμένη δάκρυσιν εἶπε τάδε·
„σχέτλιε, νῦν μὲν ἔρεξας, ὅ τοι φίλον, ὧι ἔπι πουλύν
10 πολλάκι σῆς παλάμης χρυσὸν ἀπωμοσάμην·
οἰχόμενος δ' ἄλλην ὑποκόλπιον εὐθὺς ἑλίξεις·
ἐστὲ γὰρ ἀπλήστου κύπριδος ἐργατίναι."

Vergröberte Nachbildung eines feinen alexandrinischen Musters: vgl. Propert. I 3; dazu u. a. Reitzenstein: Hermes XLVII, 1912, 81, 1. — 3 κελεύθου Append. Barb.-Vat., Salmasius, κέλευθον P. — 12 vgl. Paul. Sil. V 249, 8. — κύπρ. ἐργ.: vgl. Makedonios V 244, 8.

395. A.P. IX 620: Παύλου Σιλεντιαρίου P, Plan.

Auf ein für Männer und Frauen gemeinsames Bad.

Ἄγχι μὲν ἐλπὶς ἔρωτος· ἑλεῖν δ' οὐκ ἔστι γυναῖκας·
εἶρξε πυλὶς Παφίην τὴν μεγάλην ὀλίγη.
ἀλλ' ἔμπης γλυκὺ τοῦτο· ποθοβλήτοις γὰρ ἐπ' ἔργοις
ἐλπὶς ἀληθείης ἐστὶ μελιχροτέρη.

Vgl. Agathias IX 619; 631 u. a. Epp. des 9. Buches der A.P. — 2 ἦρξε P.

D. Christliche Epigramme (Nr. 396—400).

1. Steinepigramme (Nr. 396).

396. ISNIK (Kleinasien). Grabschrift einer Nonne.
Athen. Mitt. XXXVI, 1911, 103 (M. Schede).

Ἀττία φιλοσόφισσα.

Παρθενίην δύσασα φύγες κόσμου κακότητα
οὔνομα σεμ[ν]ώσασα Θεῷ πίστε(ι) τε ἀγά[π]η τε·
ὧδέ σε καὶ παράδεισος ἔχει ψυχήν τε ἅγιος νοῦς
καὶ χορὸς ἔνθα ἁγίων σὺν ἀγαλλομένοισι [π]ροφήταις·
5 χαῖρε, τέκνον γλυ[κύ,] χαῖρε καὶ εἴλαθι σοῖς γενέται[σιν]
— ◡ ◡ —]σ δὲ Θεοῦ — — — —

2 πιστεκτε der Stein. — 3 f. Ungeschickte Darstellung. — 6 παῖ]ς δὲ?

2. Literarische Epigramme (Nr. 397—400).
Gregorios von Nazianz.

397. Auf seine Mutter Nonna.
A.P. VIII 58.

Νόννη Φιλτατίου. — καὶ ποῦ θάνε; — τῷδ' ἐνὶ νηῷ. —
καὶ πῶς; — εὐχομένη. — πηνίκα; — γηραλέη. —
ὦ καλοῦ βιότοιο καὶ εὐαγέος θανάτοιο.

Die bekannte Form des Gesprächs am Grabe: vgl. Ep. 136; doch wird hier das Grab selbst angeredet, ähnlich wie zuerst bei Kallimachos: Ep. 285. — In P das Ep. ohne Lemma mit dem vorausgehenden verbunden. — 1 Νόννα P.

398. Auf die Eltern Gregors und seinen Bruder Kaisarios; 369 n. Chr.
A.P. VIII 87 = Epitaphia 8.

Ὥριοι εἰς τάφον ἦμεν, ὅτ' ἐνθάδε τοῦτον ἔθηκαν
λᾶαν ἐφ' ἡμετέρῳ γήραϊ λαοτόμοι·
ἀλλ' ἡμῖν μὲν ἔθηκαν· ἔχει δέ μιν οὐ κατὰ κόσμον
Καισάριος, τεκέων ἡμετέρων πύματος.
5 ἔτλημεν πανάποτμα, τέκος, τέκος· ἀλλὰ τάχιστα
δέξαι ἐς ἡμέτερον τύμβον ἐπειγομένους.

Die alte Klage um den Tod des Kindes vor den Eltern (vgl. Ep. 149, 7) sehr persönlich ausgedrückt. Viele andere Gedichte Gregors auf Kaisarios noch vorhanden. — 1 ἐνῆκαν P.

399. Auf Martinianos. 372 n. Chr.
A.P. VIII 104 = Epitaphia 40.

Εἴ τις Τάνταλός ἐστιν ἐν ὕδασιν αὖος ἀπίστοις,

εἴ τις ὑπὲρ κεφαλῆς πέτρος ἀεὶ φοβέων,
δαπτόμενόν τ' ὄρνισιν ἀγήραον ἧπαρ ἀλιτροῦ
καὶ πυρόεις ποταμὸς καὶ ζόφος ἀθάνατος
5 ταρτάρεοί τε μυχοὶ καὶ δαίμονες ἀγριόθυμοι
ἄλλαι τε φθιμένων τίσιες εἰν 'Αίδι·
ὅστις Μαρτινιανὸν ἀγακλέα δηλήσαιτο
τύμβον ἀνοχλίζων, δείματα πάντα φέροι.

Unzählige Grabschriften und Epp. drohen Grabschändern mit rechtlichen oder göttlichen Strafen, viele auch von Gregors Epp. — 5 Die μυχοί der Unterwelt ein sehr alter Ausdruck: Aisch. Prom. 449; Eurip. Herc. 607f. u. a.

400. An die Mönche.
Epigramm 19.

'Ως χαλεπὸν σάρκεσσι φυγεῖν κλόνον ἐγγὺς ἐούσαις
τοὔνεκά μοι, μοναχοί, τῆλ' ἀπὸ θηλυτέρων·
πολλὰ γάρ ἐστι γάμου μυστήρια καὶ πρὸ γάμοιο,
οἷς μολύνει ψυχὴν ὄψις ὑφελκομένη.

Index.

I. Vergleichungstabellen.

Die rechtsstehenden Zahlen in den einzelnen Spalten sind die Nummern meiner Sammlung.

A. Inschriften.

B. Literarische Epigramme.

Inschriftliche Dichternamen.

II. Register der Epigramme.

Inhaltsverzeichnis.







